49

DE AEDIBUS HOMERICIS.

DISSERTATIO INAUGURALIS

QUAM

AD SUMMOS IN PHILOSOPHIA HONORES

AB AMPLISSIMO ORDINE PHILOSOPHORUM LIPSIENSI

RITE IMPETRANDOS

SCRIPSIT

JOANNES PROTODICOS
PARIUS.

LIPSIAE
TYPIS WALTER WIGAND.

MDCCCLXXVII.

Ι. ΜΑΡΚΕΛΛΑΙ ΕΜΠΟΡΩΙ,

Σ. ΔΕΛΛΑΓΡΑΜΜΑΤΗΙ ΤΡΑΠΕΖΙΤΗΙ,

Κ. ΜΥΛΩΝΑΙ ΚΑΘΗΓΗΤΗΙ,

ΑΝΔΡΑΣΙ ΚΑΛΟΙΣ ΚΑΓΑΘΟΙΣ

ΑΝΕΘΗΚΕΝ

Ο ΓΡΑΨΑΣ.

Ι. ΜΑΡΚΕΛΛΑΙ ΕΜΠΟΡΩΙ,

Σ. ΔΕΛΛΑΓΡΑΜΜΑΤΗΙ ΤΡΑΠΕΖΙΤΗΙ,

Κ. ΜΥΛΩΝΑΙ ΚΑΘΗΓΗΤΗΙ,

ΑΝΔΡΑΣΙ ΚΑΛΟΙΣ ΚΑΓΑΘΟΙΣ

ΑΝΕΘΗΚΕΝ

Ο ΓΡΑΨΑΣ.

ΒΙΒΛΙΑ ΒΟΗΘΗΤΙΚΑ.

A. Hirt, Gesch. der Baukunst bei den Alten, I, *σελ.* 208—214. Berlin, 1821.

H. Rumpf, De aedibus Homericis. Pars I, Giessen, 1844. Pars II, Giessen 1857 *καὶ* 1858.

Eggers, Disputatio de aula Homerica. Altonae, 1830. *Τὴν δὲ ὑπὸ τοῦ αὐτοῦ γραφεῖσαν πραγματείαν.* „De aedium Homericarum partibus disputatio. Altonae, 1833“ *οὐδαμόθεν πορίσασθαι οἷόν τέ μοι ἐγένετο.*

J. B. Friedreich, Realien, *σελ.* 300—310. Erlangen, 1856.

A. Winckler, Die Wohnhäuser der Hellenen, *σελ.* 14—60. Berlin 1868.

J. H. Krause, Deinokrates. *σελ.* 488—507. Jena, 1863.

Emil Wörner, *Ἀνόπαια, ἐν τῷ* „Studien zur Griech. u. Latein. Grammatik, herausgegeben von Prof. G. Curtius. *τομ.* 6, *τευχ.* 2, *σελ.* 349—71. Leipzig, 1873.

L. Gerlach, Das Haus des Odysseus, *ἐν τῷ* 30. *τόμῳ, σελ.* 503—23. *τοῦ περιοδικοῦ συγγράμματος* Philologus.

ΠΕΡΙ ΤΗΣ ΚΑΘ ΟΜΗΡΟΝ ΟΙΚΙΑΣ.

Τῶν οἰκιῶν, ὧν Ὅμηρος ἐν τοῖς ποιήμασι μέμνηται, τὰς μὲν τῶν ἰδιωτῶν οὐδεμιᾶς που μνείας ἠξίωσε, τὰ δὲ τῶν βασιλέων ἀνάκτορα πᾶσιν, οἷς ἡ ποίησις ἔχει καλοῖς, ἐπὶ τὸ μεῖζον ἐκόσμησε μακρὸν ἔπαινον οὐ μόνον τοῦ κάλλους καὶ τῆς λαμπρότητος αὐτῶν, ἀλλὰ καὶ τοῦ πλούτου τῶν ἐνοικούντων διεξιών. Τὰ γὰρ πλείω, ὧν ἐν Ἰλιάδι καὶ Ὀδυσσείᾳ περὶ τῆς Πριάμου καὶ Μενελάου καὶ Ἀλκίνου οἰκίας εἴρηκε, τοιαῦτά ἐστιν. Ἀλλ' εἴπέρ τις τὸν ποιητικὸν κόσμον ἀφεὶς τοῖς ὑπολειφθεῖσι τῶν λεγομένων χρήσασθαι βούλοιτο, ἵνα αὐτὸς πρὸς τὴν ἀρχαίαν καὶ γνησίαν τοῦ ποιητοῦ ἰδέαν τὰ τῆς οἰκίας καταμαθὼν καὶ ἄλλοις σαφῶς καὶ ὡς ἐν εἰκόνι ἐπιδείξειεν, εἰς πολλὴν ἂν οἶμαι καὶ μεγάλην ἀπορίαν αὐτὸν ἐμπεσεῖν, οὐκ εἰδότα ὅ τι καὶ λέγειν πολλαχοῦ ὁ ποιητὴς βούλεται· οὕτως ἄπορα καὶ ἀσαφῆ τὰ πολλὰ αὐτῶν τυγχάνει ὄντα. Ἵνα δὲ μηδείς, ἀγνοῶν ἴσως τὴν αἰτίαν, ἀπορήσῃ, ὅπως ποτὲ συμβέβηκε, ποίησιν μεγάλην καὶ ἔνδοξον οἵαπερ ἡ Ὁμήρου, οὕτω σφόδρα ἐν τούτῳ ἀπολείπεσθαι, βούλομαι ἐνταῦθα ὡς οἷόν τε διὰ βραχέων τὴν αἰτίαν τῆς τοιαύτης ἀσαφείας εἰπεῖν. Πρῶτον μὲν οὖν αἴτιον τοῦ μὴ μόνον τὰ τῆς οἰκίας, ἀλλὰ καὶ ἄλλα πολλὰ τοῦ βίου τῶν τότε ἀνθρώπων ἡμᾶς ἀγνοεῖν, τὴν ποίησιν αὐτὴν ἡγοῦμαι. Οἱ γὰρ ποιηταὶ τῆς περὶ τὰ κοινὰ καὶ συνήθη πράγματα ἀκριβείας ὀλιγωροῦντες ἐκεῖνα μόνα λέγειν προαιροῦνται, ἅπερ τὰς τῶν ἀκουόντων ψυχὰς τέρπειν δύναται. Οὐκ ἔστιν ἄρα πάντα ἀκριβῶς παρ' αὐτῶν μαθεῖν οὐδὲ ἀπαιτεῖν, ὅσα ἂν ἐν τοῖς ποιήμασιν εἰρηκότες τυγχάνωσιν, ἅπαντ' εἰς τὸ λεπτότατον ἀκριβολογεῖσθαι, ὃ δὴ

οὐδὲ τοὺς καταλογάδην συγγράφοντας δικαίως ἄν τις ποιεῖν ἀξιώσειεν. Ἔπειτα δὲ τὴν ἡμετέραν αὐτῶν ἄγνοιαν αἴτιον νομίζω. Ὅσα γὰρ τοῖς ποιηταῖς καὶ περὶ τούτων εἴρηται, οὐ περισσῶς οὐδ' αὖ ἐνδεῶς αὐτοῖς πεποίηται, ἀλλ' ὅσον γε περὶ ἑκάστου τῶν λεγομένων τὰ προσήκοντα ὑποσημαίνεσθαι. Ὅ τε γὰρ Ὅμηρος καὶ πάντες οἱ μετ' αὐτὸν οὐ τοῖς πόρρω τοῖς χρόνοις ἀφισταμένοις, ἀλλὰ τοῖς καθ' ἑαυτοὺς ζῶσιν ἀνθρώποις ἐποίουν, οἵτινες τὰ πράγματα αὐτὰ εὖ εἰδότες καὶ τὴν βραχυτάτην τῶν ὑπομνήσεων καὶ πᾶσαν ὑπόνοιαν ἀκριβῶς συνιέναι ἠδύναντο. Εἰκὸς οὖν ὅσαγε αὐτῶν εἴτε βραχύτατα πέφρασται εἴτε καὶ ψιλοῖς τοῖς ὀνόμασι δεδήλωται, ἐκείνοις μὲν γνώριμα καὶ σαφῆ, ἡμῖν δὲ διὰ τὸ πλῆθος τοῦ χρόνου, ἐν ᾧ τοσαῦται καὶ τηλικαῦται περὶ τὸν βίον μεταβολαὶ ἐγένοντο, ἀδιανόητα καὶ σκοτεινὰ εἶναι. Οὐ μὴν ἀλλὰ καὶ οὐκ ὀλίγων αὖθις ὀνομάτων ἡ ἀσάφεια πολλὴν δυσχέρειαν καὶ διαφωνίαν περὶ τὴν ἐξέτασιν παρέχει. Τούτων γὰρ τὰ μέν ἐστι γλῶσσαι, οἷάπερ τὰ ἀνόπαια, μεσόδμη, μέλαθρον, ὀρσοθύρη καὶ ἄλλα, καὶ διὰ τοῦτο διακριβοῦσθαι οὐ ῥάδια· τὰ δὲ γνώριμα μέν, ἀλλ' ἀσταθῆ τὴν χρῆσιν καὶ ἀδιόριστα· τοιαῦτα μάλιστά ἐστι τὰ συνώνυμα οἶκος, δόμος, δῶμα, μέγαρον. Χαίρων γὰρ Ὅμηρος τῇ συνωνυμίᾳ καλουμένῃ οὐ μόνον τούτοις τὴν ὅλην οἰκίαν προσαγορεύειν φιλεῖ, ἀλλὰ καὶ ἐπὶ τῶν τῆς οἰκίας μερῶν πολλάκις αὐτὰ τάσσει. Συμβέβηκεν οὖν, ὁπόταν τοὔνομα τῇ τῶν λεγομένων συνεχείᾳ μὴ ῥαδίως ὁρίζηται, μὴ εἰδέναι ὅπῃ καὶ ὅπως τέτακται.[1]

Ἐν μὲν Ἰλιάδι Ὅμηρος τὰ Πριάμου[2]), Πάριδος καὶ Ἕκτορος[3]) ἀνάκτορα, ἃ ἐπὶ τῇ Τροίας ἀκροπόλει ᾠκοδόμητο[4]), διὰ μακροτέρων μνημονεύει, ἐν δὲ Ὀδυσσείᾳ τὰ Νέστορος[5]), Μενελάου[6]), Ἀλκίνου[7]) καὶ Ὀδυσσέως.[8]) Πρὸς δὲ τούτοις ἐν Ἰλιάδι μὲν τῆς Ἀχιλλέως σκηνῆς, ἣν οἰκίᾳ ὁμοίαν οἱ Μυρμιδόνες αὐτῷ ἐποίησαν[9]), ἐν δὲ Ὀδυσσείᾳ τοῦ ποιμενικοῦ σταθμοῦ τοῦ συβώτου Εὐμαίου[10]) καὶ τοῦ ἐν τοῖς ἀγροῖς οἰκήματος τοῦ γέροντος Λαέρτου[11]) μέμνηται. Καὶ περὶ καταγωγίου τινὸς ἐν Ἰθάκῃ μνείαν ποιεῖται, ὃ λέσχην ἐπονομάζει.[12]) Ἐκ πάντων οὖν τούτων τῶν οἰκοδομη-

---

1) ὅρα ἐπιμέτρου σημ. α΄. 2) Ἰλ. Ζ. 242—250. 3) Ζ. 313—17. 4) Ζ. 317. 5) Ὀδ. Γ. 387—409. 6) Δ. 43—46 καὶ 71—75. 7) Η. 71—132. 8) Ρ. 264—288. 9) Ἰλ. Ω. 449—56. πρβ. 644—7 καὶ 673—6, καὶ Π. 231. 10) Ὀδ. Ξ. 5—12. 11) Ὀδ. Ω. 208—10. 12) Σ. 327. ὅρα καὶ Παυσανίαν 10, 25. Εὐστάθ. ἐν Ὀδ. Σ. σελ. 1849. Κουρτίου ἐτυμολογικὸν σελ. 366.

μάτων λαβὼν ὅσα αὐτοῖς κοινὰ τυγχάνει καὶ ἀλλήλοις κατὰ τάξιν συνάψας μίαν οἰκίας ἰδέαν ὡς οἷόν τε ἀκριβῆ ἀποδεῖξαι πειράσομαι· ἀλλὰ καὶ περὶ τῶν ἑκάστοις προσόντων ἐν τῷ οἰκείῳ τόπῳ τὰ προσήκοντα ἐρῶ.

Διαίρεσις τῆς οἰκίας.

Πᾶσα οἰκία διχῇ μεμέρισται εἴς τε τὸ ἄστεγον καὶ τὸ ἐστεγασμένον· καὶ ἄστεγον μέν ἐστιν ἡ αὐλή, ἐστεγασμένον δὲ ὁ οἶκος. Καλῶ δὲ οἶκον πάντα τὰ συνεχῆ καὶ ἀλλήλοις κοινωνοῦντα τῶν οἰκημάτων, καί, ἵνα καθ' Ὅμηρον εἴπω, τ ὰ ἐ ξ ἑ τ έ ρ ω ν ἕ τ ε ρ α, ἃ ὅλον τι ἀποτελοῦντα πρὸς τὰς παντοίας τῆς οἰκήσεως χρείας ᾠκοδόμηται. Ὀδυσσεὺς γοῦν αὐτὸς περὶ τῆς ἰδίας οἰκίας Εὐμαίῳ διαλεγόμενος τοιαύτην δὴ διαιρέσεως ἰδέαν ἡμῖν ἐπιδείκνυσιν.[1])

„Εὔμαι', ἦ μάλα δὴ τάδε δώματα κάλ' Ὀδυσῆος.
ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ καὶ ἐν πολλοῖσιν ἰδέσθαι.
ἐξ ἑτέρων ἕτερ' ἐστίν, ἐπήσκηται δέ οἱ αὐλὴ
τοίχῳ καὶ θριγκοῖσι, θύραι δ' εὐεργέες εἰσὶν
δικλίδες.

Καὶ Ναυσικᾶ τῷ λόγῳ ὑφηγουμένη τὰ τῆς εἰσόδου φησὶν Ὀδυσσεῖ[2])

. . . . ἀλλ' ὁπότ' ἄν σε δόμοι κεκύθωσι καὶ αὐλή,
ὦκα μάλα μεγάροιο διελθέμεν . . .

ἔνθα δὴ κατὰ τὸ γνωστὸν πρωθύστερον σχῆμα εἰποῦσα δόμους καὶ αὐλὴν ἑκατέραν τῆς οἰκίας μοῖραν σαφῶς δεδήλωκεν.

Οὔκουν ἄλλως τὴν τῆς οἰκίας διαίρεσιν ἐννοεῖν χρὴ οὐδ' ὁπόταν Ὅμηρος ἓν καὶ δύο μέρη τῆς ἑτέρας μοίρας τῇ ἑτέρᾳ συμπλέκειν δοκῇ τοιάδε φάσκων, (τέκτονας ἄνδρας) „Ἀλεξάνδρῳ ποιῆσαι θάλαμον καὶ δῶμα καὶ αὐλήν"[3]), καὶ πάλιν (Ὀδυσσέα) „θειῶσαι μέγαρον καὶ δῶμα καὶ αὐλήν".[4]) Ἐν μὲν γὰρ τῷ πρώτῳ τῶν χωρίων θάλαμός ἐστιν ἡ γυναικωνῖτις, δῶμα δὲ τἆλλα τοῦ οἴκου οἰκήματα, ἥ τε ἀνδρωνῖτις καὶ οἱ ἄλλοι θάλαμοι· ταῦτα δὲ πάντα τὴν ἑτέραν μοῖραν τῆς ὅλης οἰκίας ἀποτελεῖ, τῆς αὐλῆς τὴν ἑτέραν ποιούσης· ἐν δὲ τῷ δευτέρῳ μέγαρον μέν ἐστιν ἡ ἀνδρωνῖτις καὶ οὐχ ὥσπερ Εὐστάθιος καὶ ἄλλοι τινὲς βούλονται, ἡ γυναικωνῖτις[5]), δῶμα δ' αὖ οἱ ἄλλοι τοῦ οἴκου

1) Ὀδ. Ρ. 264—8. 2) Ζ. 303. 3) Ἰλ. Ζ. 316. 4) Ὀδ. Χ. 494.
5) Εὐστάθ. ἐν Ὀδ. Χ. σελ. 1935, 26. Rumpf, de aed. Homer. 1, σελ. 8.

θάλαμοι. Καὶ γὰρ Ὀδυσσεύς, ὡς τὸ εἰκός, ἀπὸ τῆς ἀνδρωνίτιδος ἀρξάμενος, ἐν ᾗ ὁ φόνος ἐγένετο, πρῶτον τὸν οἶκον ἐθείωσεν, εἶτα δὲ τὴν αὐλήν. Ἐκ τούτου δὲ πάντες που οἱ περὶ τῆς ὁμηρικῆς οἰκίας πραγματευσάμενοι οὐκ ὀρθῶς, ἐμοὶ δοκεῖν, τριχῇ διελεῖν αὐτὴν προείλοντο, εἰς τὴν αὐλήν, τὴν ἀνδρωνῖτιν καὶ τὸν ἄλλον οἶκον· ἡ γὰρ ἀνδρωνῖτις οὐ τρίτη μοῖρα, ἀλλὰ μέρος τοῦ οἴκου ἐστίν[1].

Αὐλή.

Ἀπὸ τῆς ὁδοῦ εἰς τὴν οἰκίαν εἰσιόντι πρῶτον μέν ἐστι τὸ πρόθυρον καὶ ἡ αὔλειος θύρα καλουμένη, εἶτα δὲ εἴσω διὰ τῆς θύρας προϊόντι χῶρος ὑπαίθριος καὶ περιῳκοδομημένος πρὸ τοῦ οἴκου ἀναπέπταται, ὃς αὐλὴ ὀνομάζεται[2]. *Τοιγαροῦν τῷ κατὰ τὴν θύραν ἱσταμένῳ καὶ εἴσω ὁρῶντι ἡ αὐλὴ παραχρῆμα ἐπιφαίνεται. Ἡ γὰρ Ἀθηνᾶ οὐρανόθεν κατελθοῦσα εἰς Ἰθάκην καὶ στᾶσα κατὰ τὸ πρόθυρον ἐπὶ τοῦ αὐλείου οὐδοῦ τῆς Ὀδυσσέως οἰκίας ὁρᾷ, ὁπόθεν εἱστήκει, τοὺς μνηστῆρας παίζοντας ἐν τῇ αὐλῇ πεσσούς*[3].

Πρόθυρον.

Φέρε δὴ μικρὸν ἐπισχόντες ἐπισκεψώμεθα τὸ πρόθυρον. Ἔστι μὲν οὖν πρόθυρον, ὥσπερ καὶ τοὔνομα δηλοῖ, πᾶς πρὸ τῶν θυρῶν τόπος· καὶ γὰρ οὐ μόνον ὁ κατὰ τὴν ὁδὸν πρὸ τῆς αὐλείου θύρας χῶρος[4], *ἀλλὰ καὶ ὁ ἐν τῇ αὐλῇ πρὸ τῶν τοῦ οἴκου θυρῶν*[5] *καὶ ὁ πρὸ τῆς θύρας τῶν θαλάμων πρόθυρον καλεῖται*[6]. *Τό γε μὴν κατὰ τὴν αὔλειον θύραν πρόθυρον πολὺ τῶν ἄλλων διαφέρειν δοκεῖ· οὐ γὰρ μόνον ὁ πρὸ τῆς αὐλείου χῶρος, ἀλλὰ καὶ ὁ οὐδὸς αὐτὸς καὶ βραχεῖά τις μετ' αὐτὸν εἴσω διήκουσα μεταξὺ τῶν ἑκατέρωθεν αἰθουσῶν εἴσοδος πρόθυρον ὀνομάζεται. Καὶ περὶ μὲν τοῦ πρώτου ὡς πάνυ φανεροῦ ὄντος οὐδὲν δεῖ με λέγειν· περὶ δὲ τοῦ δευτέρου ἀπόχρη μοι εἰπεῖν ὅτι Ὅμηρος πεποιηκὼς τὴν Ἀθηνᾶν ἐπὶ τοῖς προθύροις ἑστῶσαν παραχρῆμα ἐπήγαγε τὸ οὐδοῦ ἐπ' αὐλείου*[7], *ἀκριβέστερον οὕτω τὸ πρᾶγμα διορίσας· περὶ δὲ τοῦ τρίτου σαφῆ ἔννοιαν*

---

1) *ὅρα* A. Hirt, Gesch. der Baukunst bei den Alten, *τομ.* 1 *σελ.* 209. Rumpf, de aed. Hom. 1, *σελ.* 3. J. H. Krause, Deinokrates *σελ.* 489. Winckler, die Wohnhäuser der Hellen. *σελ.* 20. 2) *Ἀθήναιος* 5, *σελ.* 189 *κ. ἑξῆς.* Rumpf, de aed. Hom. 1. *σελ.* 6. 3) *Ὀδ. Α.* 103—8. 4) *Ὀδ Α.* 103, 119. *Δ.* 20. *Η.* 4. *Ξ.* 34. 5) *Ὀδ Σ.* 10, 101. *Υ.* 355. *Φ.* 299. *Χ.* 474. 6) *Ὀδ. Θ.* 304, 325. 7) *Ὀδ. Α.* 103—4.

παρέχει τὸ „ἐλαύνειν ἐκ προθύροιο καὶ αἰθούσης“ 1) λεγόμενον περὶ τῶν ἐκ τῆς αὐλῆς ἐλαυνόντων. Ἔδει γὰρ αὐτοὺς ἔξω ἐλαύνοντας τὴν μεταξὺ τῶν αἰθουσῶν ὑπάρχουσαν καὶ διὰ τῆς θύρας ἔξω ἄγουσαν ἐς τὴν ὁδὸν δίοδον διελθεῖν. Πρὸ δὲ τῆς αὐλείου θύρας κατὰ τὴν ὁδὸν μικρὸν προστῷόν τινες βούλονται, τοῖς τῶν ναῶν προπυλαίοις παρόμοιον, ὃ ἄνωθεν τοὺς πρὸ τῆς θύρας ἑστῶτας ἔσκεπε 2)· περὶ τούτου ὅμως ἐκ τῶν ποιημάτων αὐτῶν οὐδὲν γιγνώσκομεν. Καὶ ταῦτα μὲν περὶ τοῦ προθύρου.

Ἕδραι πρὸ τῆς αὐλείου θύρας.

Ἔξωθεν δὲ τῆς αὐλῆς κατὰ τὰ πλάγια τῆς τε θύρας καὶ τοῦ προσθίου τοίχου ἦσαν ἕδραι λευκοῦ λίθου πεποιημέναι. Ἐπὶ τοιούτων γὰρ ἑδρῶν λέγεται Νέστορα ἐκ τοῦ ὕπνου ἐγερθέντα καὶ ἐξελθόντα καθέζεσθαι, μικρὸν δὲ μετὰ τοῦτο τοὺς παῖδας ἐκ τῶν ἐν τῇ αὐλῇ θαλάμων ἐνταῦθα περὶ αὐτὸν συνελθεῖν 3). Πρὸς δὲ τούτοις λέγεται καὶ τοὺς Πενελόπης μνηστῆρας ἐπὶ τοιούτων ἑδρῶν πρὸ τῶν αὐλείων θυρῶν καθημένους βουλεύεσθαι 4). Εἰώθεσαν ἄρα οἱ καθ' Ὅμηρον ἄνθρωποι πρὸ τῶν εἰσόδων διατρίβειν καὶ διὰ τοῦτο ἕδρας ᾠκοδόμουν. Καὶ οἱ νῦν Ἕλληνες παραπλησίας ἕδρας οὐ μόνον πρὸ τῶν οἰκιῶν, ἀλλὰ καὶ πρὸ τοῦ περιβόλου τῶν χριστιανικῶν ναῶν κατὰ τὰς εἰσόδους κατασκευάζουσιν. Ἐνταῦθα δέ που πρὸ τῆς εἰσόδου ἐπὶ κεχυμένης κόπρου ὁ τοῦ Ὀδυσσέως κύων Ἄργος κατέκειτο, ὃς ἰδὼν τὸν Ὀδυσσέα μετὰ εἴκοσιν ἔτη ἐπανελθόντα καὶ ἀναγνωρίσας παραχρῆμα ἀπέθανεν 5). Οὐκ ὀρθῶς δέ τινες τόν τε τόπον τοῦτον καὶ τὴν κόπρον, ἐφ' ἧς ὁ Ἄργος κατέκειτο, εἰς τὴν αὐλὴν μετήνεγκον 6)· ἑστῶτος γὰρ ἔτι τοῦ Ὀδυσσέως ἐκτὸς τῆς αὐλῆς κατὰ τὴν ὁδὸν καὶ τῷ Εὐμαίῳ διαλεγομένου τὴν περὶ Ἄργου διήγησιν ὁ ποιητὴς ἐνέβαλε. Μετὰ δὲ τοῦτό φησιν αὐτοὺς εἰσελθεῖν εἰς τοὺς δόμους καὶ βῆναι ἰθὺς μεγάροιο μετὰ μνηστῆρας ἀγανούς 7). Πόθεν οὖν δῆλον ὅτι ἡ κόπρος καὶ ὁ κύων ἐν τῇ αὐλῇ ἦν;

---

1) Ὀδ. Γ. 493. Ο. 146, 191. Ἰλ. Ω. 323. ὅρα αὐτόθι J. La Roche. 2) Gerlach, das Haus des Odyss. ἐν τῷ 30. τόμῳ τοῦ Philologus σελ. 503. 3) Ὀδ. Γ. 404—12. πρβ Rumpf de aed. Hom. μέρ. 1. σελ. 8. 4) Ὀδ. Π. 343—44, πρβ. καὶ 351—53 καὶ Fäsi [Kayser] αὐτόθι ἐν στίχῳ 344. 5) Ὀδ. Ρ. 291—327. 6) A. Hirt, Gesch. der Baukunst 1, σελ. 210. Fäsi ἐν Ὀδ. Ρ. 297. 7) Ὀδ. Ρ. 324—5.

Αὐλῆς μέρη.

Καὶ περὶ μὲν τῆς αὐλῆς καθόλου προείρηται· νῦν δὲ διὰ πάσης ἀκριβείας περὶ αὐτῆς εἰρήσεται. Αὐλῆς οὖν μέρη πρῶτον μὲν ὁ περίβολος, εἶτα τὸ περίστωον, μετὰ δὲ τοῦτο τοὔδαφος καὶ τὰ ἐν αὐτῇ οἰκήματα.

Ἕρκος.

Ὅ γε μὴν τῶν ἀνακτόρων περίβολος φαίνεται τετραγώνου ὀρθοῦ καὶ ἐπιμήκους σχῆμα ἔχων, ὥσπερ δῆλον γίγνεται ἐξ ὧν ὁ ποιητὴς περὶ τῶν τοίχων τῆς Ἀλκίνου αὐλῆς εἴρηκε

> *χάλκεοι μὲν γὰρ τοῖχοι ἐληλέδατ' ἔνθα καὶ ἔνθα,*
> *ἐς μυχὸν ἐξ οὐδοῦ, περὶ δὲ θριγκὸς κυάνοιο.* [1])

Οἱ οὖν ἔνθα καὶ ἔνθα ἐς μυχὸν ἐξ οὐδοῦ διήκοντες τοῖχοι οὐκ ἂν ἄλλοι εἶεν ἢ οἱ ἑκατέρωθεν πλάγιοι, οἵπερ ἀπὸ τοῦ κατὰ τὴν ὁδὸν τοίχου ἀρχόμενοι (ἐξ οὐδοῦ) εἰς μῆκος καὶ παραλλήλως, ὥσπερ σκέλη, μέχρι πρὸς τὸν ἕτερον καὶ ἀντικείμενον καὶ τὸ πέρας τῆς οἰκίας ποιοῦντα (ἐς μυχόν) καθικνοῦνται· τὸ μὲν γὰρ ἔ ν θ α κ α ὶ ἔ ν θ α τὸ παράλληλον, τὸ δὲ ἐ ς μ υ χ ὸ ν ἐ ξ ο ὐ δ ο ῦ τὸ ἀπὸ τοῦ ἑνὸς πέρατος μέχρι τοῦ ἑτέρου μῆκος αὐτῶν σαφῶς μηνύει. Πρὸς δὲ καὶ ἡ τοῦ θριγκοῦ αὐτοῦ διάθεσις, π ε ρ ὶ δ ὲ θ ρ ι γ κ ό ς, τοῦθ' ὑποδείκνυσι. Τῷ γὰρ ἐκτὸς καὶ κατὰ μέτωπον τῆς οἰκίας ἑστῶτι Ὀδυσσεῖ καὶ τὴν τῆς προσόψεως λαμπρότητα θαυμάζοντι τὸν μὲν τοῦ προσθίου τε καὶ αὐτῷ ἀντικειμένου τοίχου θριγκὸν πολλὴ ἀνάγκη ἐπὶ μίαν εὐθεῖαν φαίνεσθαι, ὃ δὴ οὐ λέγεται, τὸν δὲ τῶν πλαγίων τοίχων, καίπερ εὐθὺν καὶ τοῦτον ὄντα, περιφερῆ πως εἶναι δοκεῖν· ταῦτα γὰρ Ὅμηρος, ὥσπερ καὶ τὰ τούτοις ἑπόμενα εἰς τὸν ἐκτὸς καὶ οὐκ ἐγγύτατά πω ἱστάμενον Ὀδυσσέα ἀποβλέψας ἐποίησεν [2]). *Τοιοῦτον οὖν σχῆμα τῆς Ἀλκίνου αὐλῆς ἐχούσης οὐδέν, οἶμαι, κωλύει καὶ τὰς τῶν ἄλλων ἀνακτόρων αὐλὰς ὁμοίως αὐτῇ ᾠκοδομῆσθαι. Ὥσπερ γὰρ καὶ ἐν ἄλλοις πολλὰς ὁμοιότητας ὑπαρχούσας αὐτοῖς ὁρῶμεν, εἰκὸς καὶ ἐν τούτῳ, ὃ κοινὸν ἅπασι τυγχάνει, μὴ ἀλλήλων διαφέρειν. Ὁ δὲ περίβολος τῶν κοινῶν καὶ ταπεινοτέρων οἰκιῶν κύκλῳ μᾶλλον ἢ τετραγώνῳ ἔοικεν. Ἡ γὰρ τοῦ ποιμενικοῦ σταθμοῦ τοῦ Εὐμαίου αὐλὴ οὐκ ἄν, οἶμαι, περίδρομος τῷ ποιητῇ*

---

1) Ὀδ. Η. 86—7. 2) Ὀδ. Η. 83.

ἐπωνόμαστο, εἰ μὴ καὶ ὁ τοῖχος κύκλῳ ᾠκοδόμητο[1]), ὥς πέρ μοι δοκεῖ καὶ τὴν ἐν τῷ τρωϊκῷ πεδίῳ ἱσταμένην κολώνην, τὴν **Βατίειαν** λέγω, περίδρομον εἰρῆσθαι, ἅτε κύκλῳ περιτρέχεσθαι δυναμένην[2]). Καὶ τοιοῦτον μὲν τὸ τοῦ περιβόλου σχῆμα· ὄνομα δὲ διὰ τὸ πάντοθεν τὴν οἰκίαν περιείργειν ἕρκος κέκληται[3]), ἐξ οὗ καὶ ἡ αὐλὴ εὐερκὴς ἐπονομάζεται[4]). Τὸ δὲ ἄνω τοῦ ἕρκους ἄκρον στεφάνη τις περιέθει, ὃ θριγκὸς καλεῖται[5]). Καὶ τὸ μὲν ἕρκος τῆς Ἀλκίνου αὐλῆς χαλκῷ, ὁ δὲ θριγκὸς χάλυβι, κυάνῳ, περιείληπτο[6]). Ὁ δὲ συβώτης Εὔμαιος τὸ τῆς αὐλῆς αὐτοῦ ἕρκος φυτῷ τινι ἀκανθώδει περιεθρίγκωσεν, ὃ ἄχερδος ὀνομάζεται[7]), καθάπερ καὶ νῦν ἔτι ἐν Ἑλλάδι οἵτε ποιμένες καὶ οἱ γεωργοὶ ὁμοίας ἐν τοῖς ἀγροῖς κατασκευὰς ποιεῖν εἰώθασι. Περὶ δὲ τὸ ἕρκος τῆς Πολυφήμου αὐλῆς ἀνθ' αἱμασιᾶς δρύες τε καὶ πίτυες ὑψίκομοι ἦσαν πεφυτευμέναι[8]). Εἰ δὲ δεῖ τι καὶ περὶ τοῦ ὕψους τοῦ περιβόλου εἰπεῖν, ἱκανῶς ἐπῆρθαι δοκεῖ, ὥς ἐστι τοῖς ἐπιθέτοις τεκμαίρεσθαι, οἷς Ὅμηρος ἐχρήσατο, ὁτὲ μὲν βαθείην[9]), ἄλλοτε δ' αὖ ὑψηλὴν[10]) τὴν αὐλὴν ἐπονομάζων.

Αἴθουσαι.

Ἑξῆς δὲ τῷ περιβόλῳ τὸ περίστωόν ἐστιν, ὃ αἴθουσα καλεῖται, ὡς ταῖς τοῦ ἡλίου ἀκτῖσιν αἰθομένη, καθὰ δὴ ὑπὸ τῶν παλαιῶν μιᾷ σχεδὸν γνώμῃ τοὔνομα ἑρμηνεύεται[11]). Ὅτι γε μὴν ἡ αἴθουσα ἐν τῇ αὐλῇ κεῖται, δῆλον γίγνεται πρῶτον μὲν ἐκ τοῦ συνάπτεσθαι ἀλλήλοις τὰ ὀνόματα, τοῦ ποιητοῦ φάσκοντος αἴθουσαν αὐλῆς[12]), εἶτα δὲ ἐκ τῶν περὶ Φιλοιτίου λεγομένων· φησὶ γὰρ αὐτὸν λαβόντα τὸ ὑπὸ τῇ αἰθούσῃ κείμενον τῆς νεὼς ὅπλον τὰς αὐλείους θύρας ἔνδοθεν ἐπιδῆσαι[13]). Ὅτι δὲ καὶ ἐγγὺς καὶ συναφῆς τῷ τῆς αὐλείου θύρας τοίχῳ ἡ αἴθουσα ἦν, οὐ μόνον αὖθις τούτοις τοῖς περὶ Φιλοιτίου εἰρημένοις

---

1) Ὀδ. Ξ. 7. Εὐστάθ. Ὀδ. Ξ. σελ. 1748, 11. Lex. Homer. H. Ebeling ἐν ὀνομ. περίδρομος. 2) Ἰλ. Β. 818. 3) Ἰλ. Ι. 476. Ὀδ. Θ. 57. Ρ. 266—7. πρβ. καὶ Πλάτ. ἐν Σοφιστ. 220 G. 4) Ἰλ. Ι. 472. Ὀδ. Φ. 389. Χ. 449. 5) Ὀδ. Ρ. 266—67. 6) Ὀδ. Η. 86—7. ὅρα Buchholz, Homer. Realien, τομ. I. μερ. 2, σελ. 340, § 17. 7) Ὀδ. Ξ. 10. Buchholz, Hom. Real. I. 2. σελ. 278. 8) Ὀδ. Ι. 186. 9) Ὀδ. Ι. 239, 338. Ἰλ. Ε. 142. 10) Ὀδ. Ι. 185. Ξ. 6. 11) Schol. Graec. Dindorf. τομ. 1, σελ. 238 καὶ 325. Ἡσύχιος, αἰθούσης. Λεξ. Ἀπολλ. Σοφιστ. σελ. 14, 34. 12) Ἰλ. Ι. 472. Ὀδ. Χ. 449. 13) Ὀδ. Φ. 389—91.

τεκμαίρεσθαι δυνατόν, ἀλλὰ καὶ τῷ φάναι θύρας αἰθούσης[1]) *καὶ τὴν αἴθουσαν τῷ προθύρῳ συνάπτειν*[2]). *Ἐκ τούτων οὖν σαφῶς δείκνυται, ὅ τι ἐν τῇ αὐλῇ πρὸς τῷ τῆς αὐλείου θύρας τοίχῳ μία αἴθουσά ἐστιν, ἣν ἑτέρας αἰθούσης διακρίνειν βουλόμενος αἴθουσαν αὐλῆς ἰδίᾳ καλῶ. Ἔστι δὲ ἐν τῇ αὐλῇ καὶ ἑτέρα αἴθουσα, ὥσπερ ἄν τις ῥᾳδίως γνοίη ἔκ τε τοῦ πληθυντικοῦ ἀριθμοῦ, ᾧ ὁ ποιητὴς κέχρηται*[3]) *καὶ μάλιστα ἐκ τῶνδε. Πολλαχοῦ γὰρ τῶν ποιημάτων Ὅμηρος ποιῶν πρῶτον τὰς θεραπαινίδας εὐνὰς τοῖς παρὰ τοὺς βασιλέας ἀφικνουμένοις ξένοις ὑπὸ τῇ αἰθούσῃ στρωννύσας, εἶτα δὲ μικρὸν προελθὼν καὶ ὥς περ τῶν προειρημένων ἐπιλαθόμενός φησιν αὐτοὺς ἐν τῷ προδόμῳ καθεύδειν. Αὐτίκα γὰρ ὑπὸ μὲν τῶν Ἀχιλλέως δμωῶν δοιὼ λέχεα ὑπὸ τῇ αἰθούσῃ τῆς σκηνῆς τῷ τε Πριάμῳ καὶ τῷ κήρυκι στρώννυται, μικρὸν δὲ μετὰ τοῦτο ἐν τῷ τοῦ δόμου προδόμῳ οἱ αὐτοὶ κοιμώμενοι πεποίηνται*[4]). *Ταὐτὰ δὲ τούτοις περὶ Τηλεμάχου καὶ Πεισιστράτου παρὰ Μενελάῳ ξενιζομένων λέγεται*[5]). *Αὕτη δὴ ἡ δευτέρα αἴθουσα ἐναντίον τῇ προτέρᾳ κεῖται· ἡ αὐτὴ γὰρ τῷ προδόμῳ εἶναι λέγεται· ὁ δὲ πρόδομός ἐστι τόπος πρὸ τοῦ οἴκου, περὶ οὗ ὕστερον δι' ἀκριβείας ἐρῶ. Βουλόμενος δὲ καὶ ταύτην τῆς ἑτέρας διακρίνειν τοῦ δόμου αἴθουσαν αὖθις καλῶ. Καὶ τοιαύτη μὲν ἡ τῶν αἰθουσῶν ἐν τῇ αὐλῇ διάθεσις· κατασκευὴν δὲ εἶχον τοιάνδε. Πεποίηνται μὲν λίθου, δι' ὃ δὴ καὶ ξεσταὶ ὑπὸ τοῦ ποιητοῦ ἐπονομάζονται*[6]), *καθάπερ καὶ οἱ λίθοι αὐτοί*[7]). *Ἐοίκασι δὲ μάλιστα στοαῖς καὶ διὰ τὸ ὑπόστεγον, ὑφ' ὃ εἴτε ἀνθρώπων περιπατούντων εἴτε καὶ ἀνέμου ἐμπίπτοντος δοῦπος ἐγίγνετο, ἐρίδουποι καλοῦνται*[8]), *ὅθεν ἄν τις ῥᾳδίως καὶ περὶ τοῦ ὕψους αὐτῶν εἰκάσειε. Τὰ δὲ τῶν στεγῶν αὐτῶν πλάγια πέρατα ἐκ μὲν τοῦ ἐπὶ θάτερα ἐπὶ τῶν τοίχων τῆς τε αὐλείου θύρας καὶ τοῦ οἴκου ἐστηρίχθαι δοκεῖ, ἐκ δὲ τοῦ ἐπὶ θάτερα ταῖς τῶν κιόνων κεφαλαῖς, οἳ δύο ἀντικειμένους ἀλλήλοις στοίχους ἐν τῇ αὐλῇ ἐποίουν. Καὶ τὴν μὲν ἑτέραν τῶν ὀρθίων πλευρῶν ἀπὸ τῆς στέγης πρὸς τὸ ἔδαφος ὁ τοῖχος τῆς αὐλείου*

---

1) Ὀδ. Σ. 102. *πρβ.* Fäsi [Kayser] *αὐτόθι.* 2) Ὀδ. Γ. 493. Ο. 146. 191. Ιλ. Ω. 323. 3) Ὀδ. Θ. 57 *καὶ* Fäsi [Kayser] *αὐτόθι.* 4) Ἰλ. Ω. 644, 673. 5) Ὀδ. Δ. 297, 302. Ο. 5. *πρβ.* Γ. 399, Υ. 1 *καὶ* 143, 95—7. *πρβ. καὶ* Ὀδ. Η. 336 *καὶ* 345. 6) Ἰλ. Ζ. 243, Υ. 11. 7) Ὀδ. Γ. 406. 8) Ἰλ. Ω. 323. Ὀδ. Γ. 399. 493. Ο. 146. Υ. 176, 189. *Εὐσταθ. αὐτόθι σελ.* 1890, 20.

θύρας αὖθις καὶ τοῦ οἴκου ἐποίει, τὴν δὲ ἑτέραν οἱ κίονες αὐτοὶ κατὰ διαστήματα ἱστάμενοι, δι᾽ ὧν τὸ φῶς ἀπὸ τοῦ ὑπαίθρου τῆς αὐλῆς τὴν ἡμέραν ὑπεδέχοντο [1]. *Πάντων δὲ τῶν ἐν τῇ αὐλῇ κιόνων δυοῖν Ὅμηρος μνείαν ποιεῖται, ὧν ὁ μὲν τῆς αὐλείου, ὁ δὲ τῆς τοῦ δόμου αἰθούσης ἐστίν. Καὶ περὶ ἐκείνου μὲν μετὰ μικρὸν ἐρῶ, περὶ τούτου δὲ γιγνώσκομεν τάδε. Λέγεται γὰρ Τηλέμαχον ἐκ τοῦ ἀγροῦ ἐλθόντα εἰς τὴν οἰκίαν πρὶν εἰσελθεῖν ἔτι εἰς τὴν ἀνδρωνῖτιν στῆσαι πρῶτον τὸ ἔγχος πρὸς κίονα μακρόν, ὃς κατὰ τὸ πρόθυρον τῆς ἀνδρωνίτιδος ἦν, εἶτα δὲ εἴσω χωρῆσαι, ὅπου ἡ μήτηρ, ἡ Εὐρύκλεια καὶ αἱ δμωαὶ αὐτὸν ἀσπάζονται, μετὰ δὲ μικρὸν ἐξελθόντα πάλιν λαβεῖν ἀπὸ τοῦ αὐτοῦ κίονος τὸ ἔγχος* [2]. *Φαίνονται δὲ αἱ αἴθουσαι ἐφ᾽ ἅπαν τὸ μῆκος ἑκατέρου τῶν τοίχων διήκουσαι. Δῆλον δὲ τοῦτο γίγνεται ἐξ ὧν Ὅμηρος περὶ τοῦ ἐν τῇ γωνίᾳ τῆς αὐλῆς κίονος εἴρηκε. Μετὰ γὰρ τὸν φόνον τῶν μνηστήρων ἐξαγαγόντες εἰς τὴν αὐλὴν τὰς ἀπίστους θεραπαινίδας μεταξὺ τῆς θόλου καὶ τοῦ τοίχου τῆς αὐλείου θύρας εἰλοῦσιν ἐν στείνει, ὅθεν οὔπως ἦν ἀλύξαι (ἐν τῇ γωνίᾳ), εἶτα δὲ πεῖσμα νεὼς ἀπὸ τοῦ κίονος ἐς τὴν θόλον ἐξάψαντες καὶ βρόχους τοῖς τραχήλοις αὐτῶν περιάψαντες ἀπὸ τοῦ πείσματος ἀναρτῶσιν* [3]. *Ἵνα οὖν οἱ τοῦτο ποιήσαντες ἀπὸ τοῦ ἐν τῇ γωνίᾳ κίονος τὸ πεῖσμα ἐξάπτειν δύναιντο, πάντως δήπου αἵτε αἴθουσαι καὶ οἱ κίονες μέχρι τῶν περάτων τῶν τοίχων, ἔνθα αἱ γωνίαι, ᾠκοδόμηντο. Ἔνιοι δὲ τῶν ἑρμηνευτῶν τὴν θόλον οὐ παρὰ τῇ γωνίᾳ, ἀλλὰ παρὰ τῇ τῆς αἰθούσης πλευρᾷ, ἣ πρὸς τῇ αὐλείῳ θύρᾳ ἦν, ἱδρυμένην νοοῦντες καὶ τὸν κίονα, ὡς τὸ εἰκός, ἐνταῦθα τῆς αἰθούσης συνιδρῦσθαι βούλονται, ὥςτε μεταξὺ τῆς θόλου καὶ τῆς αἰθούσης στενὴν δίοδον εἶναι, εἰς ἣν αἱ θεραπαινίδες συνωθοῦνται* [4]. *Ἀλλὰ ταύτῃ τῇ ἑρμηνείᾳ ἄντικρυς τό, ὅθεν οὔ πως ἦν ἀλύξαι ἀντίκειται, ὅ γε οὐ δίοδον, ἀλλὰ γωνίαν πάντως ὑποτίθησι. Σαφῶς δὲ καὶ ἄλλοθεν τὸ τῶν αἰθουσῶν μῆκος δηλοῦται. Εἰ γὰρ πρὸ τῶν θυρῶν μόνων τῆς αὐλῆς καὶ τοῦ οἴκου ᾠκοδομημέναι ἦσαν, οὐκ ἂν τοσούτους γε νεκροὺς τῶν μνηστήρων ὑπ᾽ αὐτὰς ἐξεφόρησαν* [5], *οὐδὲ τοσαῦτα κτήνη ἐνταῦθα κατέδησαν* [6]· *οὕτω*

---

1) Lexicon Hom. Ebeling *σελ.* 48. 2) *Ὀδ.* P. 28—40 *καὶ* 61—2.
3) *Ὀδ.* X. 458—67. 4) Ameis *ἐν Ὀδ.* X. 442, 460. 5) *Ὀδ.* X. 449.
6) *Ὀδ.* Y. 176, 189.

γὰρ ἂν τὰς εἰσόδους ἀπέφρασσον· ἀλλ' οὐδ' ὑπ' αὐταῖς ἂν ἐκοιμῶντο καὶ ἤσθιον [1].

Αἴθουσαι τῶν πλαγίων τοίχων.

Ὁμήρου δὲ ἐν τοῖς ποιήμασιν οὐδεμίαν περὶ αἰθουσῶν τῶν πλαγίων τοίχων μνείαν ποιησαμένου, τῶν ἑρμηνευτῶν τινες καὶ τῶν περὶ τῆς οἰκίας πραγματευσαμένων οὐ μόνον αἰθούσας τοῖς τοίχοις τούτοις μὴ προσεῖναι ᾠήθησαν, ἀλλὰ καὶ λόγους τινὰς καταλέγειν ἐπεχείρησαν, τοὺς μὲν ἐκ τῶν ποιημάτων πορισάμενοι, τοὺς δὲ καὶ αὐτοὶ πλάσαντες. Βουλόμενος δὲ διὰ βραχέων ἐλέγχειν πειράσομαι πρῶτον ὡς οἷόν τε σαφῶς τοὺς πιθανωτέρους εἶναι δοκοῦντας ἐνταῦθα καταλέξαι, εἶτα δὲ καὶ τὸν ἔλεγχον αὐτοῖς ἐπενεγκεῖν. Πρῶτον μὲν οὖν τοῖς περὶ Φοίνικος ἐν Ἰλιάδι εἰρημένοις [2]) τὴν ἑαυτῶν γνώμην κυροῦν ἐπιχειροῦσι, λέγοντες ὅτι τῆς αὐλείου θύρας φυλασσομένης οὐκ ἂν ἐκεῖνος ὑπερθορὼν τὸ τῆς αὐλῆς ἑρκίον ἀπεδίδρασκεν, εἴπερ τῷ ὄντι πρὸς τοῖς πλαγίοις τοίχοις αἴθουσαι ὑπῆρχον, ἐφ' ἃς χαλεπώτερον ἢ ἐπὶ ψιλοὺς τοίχους ἀναβαίνειν [3]). Εἶτα δὲ ἐπάγουσιν ἐκ τῆς Ὀδυσσείας τὰ κατὰ τὸν κήρυκα Μέδοντα [4]), φάσκοντες αὐτὸν ἔξωθεν τοῦ περιβόλου ἱστάμενον ῥᾳδίως ἀκοῦσαι τῶν μνηστήρων περὶ τοῦ Τηλεμάχου φόνου ἐν τῇ αὐλῇ βουλευομένων διὰ τὸ μὴ εἶναι πλαγίας αἰθούσας [5]). καὶ ταῦτα μὲν οὗτοι. Ἐγὼ δέ φημι τὸ Φοίνικα ὑπερπηδῆσαι τὸν τῆς αὐλῆς περίβολον μηδὲν εἶναι τεκμήριον ὡς καὶ ἐν πάσαις ταῖς τῶν ἀνακτόρων αὐλαῖς αἴθουσαι τῶν πλαγίων τοίχων οὐχ ὑπῆρχον. Τί γὰρ ἄλλο Ὅμηρος νοεῖν βούλεται τῷ ὑπερθρώσκειν χρησάμενος, εἰ μὴ ἄρα ἄπιστόν τινα ὑπερβολὴν φράζειν αὐτὸν ἡγούμεθα, ἢ τὴν Φοίνικος πατρῴαν οἰκίαν μικράν τινα εἶναι ὥσπερ καὶ τὸν περίβολον αὐτὸν παντάπασι ταπεινὸν καὶ διὰ τοῦτο ὑπερβῆναι ῥᾴδιον; Μιᾶς γὰρ μόνης ἐξόδου διὰ τῆς αὐλείου θύρας ὑπαρχούσης, εἴγε ὁ περίβολος τῆς αὐλῆς τοσοῦτον εἶχεν ὕψος, ὅσον καὶ οἱ τῶν ἄλλων ἀνακτόρων [6]), τί δὴ ἐχρῆν πρῶτον μὲν καθειργμένον ἔν τινι τῶν τῆς αὐλῆς θαλάμων τὸν Φοίνικα κατέχειν, εἶτα δὲ δύο πυρὰ ὑπὸ ταῖς αἰθούσαις νυκτὸς καίειν καὶ τοσούτους ἄνδρας καὶ γυναῖκας

---

1) Ὀδ. Ο. 466. 2) Ἰλ. Ι. 464—77. 3) Nitzsch, Anm. 1, σελ. 216. Eggers, de aula Hom. σελ. 13. Rumpf, de aed. hom. 1, σελ. 18. 4) Ὀδ. Δ. 677. 5) Rumpf, aed. hom. 1, σελ. 18. Nitzsch, Anm. τομ. 1, σελ. 299. 6) A. Hirt, Gesch. d. Bauk. τομ. 1, σελ, 210. Krause, Deinokrates, σελ. 490.

παραφυλάττειν, ἐξὸν αὐτοῖς μόνην τὴν αὔλειον θύραν ἐγρηγορότας τηρεῖν καὶ πρὸς αὐτῇ τὸ πῦρ καίειν; Τί οὖν πρὸς τὰ νῦν ἐρωτηθέντα ἀποκρινούμεθα; Οὐδὲν ἄλλο, οἶμαι, ἢ τὸν περίβολον μὴ οὕτως ἐχυρὸν εἶναι καὶ διὰ τοῦτο πολλῆς καὶ ἀγρύπνου φυλακῆς δεῖσθαι· σαφῶς γὰρ τοῦτο ἐκ τῶν ἐπῶν δηλοῦται, ἐν οἷς ὁ Φοῖνιξ αὐτός φησιν

> εἰνάνυχες δέ μοι ἀμφ' αὐτῷ παρὰ νύκτας ἴαυον·
> οἳ μὲν ἀμειβόμενοι φυλακὰς ἔχον, οὐδέ ποτ' ἔσβη
> πῦρ, ἕτερον μὲν ὑπ' αἰθούσῃ εὐερκέος αὐλῆς,
> ἄλλο δ' ἐνὶ προδόμῳ πρόσθεν θαλάμοιο θυράων.
> ἀλλ' ὅτε δὴ δεκάτη μοι ἐπήλυθε νὺξ ἐρεβεννή,
> καὶ τότ' ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας
> ῥήξας ἐξῆλθον, καὶ ὑπέρθορον ἑρκίον αὐλῆς,
> ῥεῖα, λαθὼν φύλακάς τ' ἄνδρας δμωάς τε γυναῖκας[1]).

Ἔπειτα ὑψηλοῦ ὄντος τοῦ περιβόλου καὶ τῶν πλαγίων αἰθουσῶν, ὡς βούλονται, μὴ ὑπαρχουσῶν, τίνα δὴ τρόπον ὁ Φοῖνιξ ἀναβῆναι οἷός τε ἐγένετο; Εἰ μὲν γὰρ τοῦτο μὴ παντάπασιν ἀδύνατον, χαλεπώτερον ὅμως ἔμοιγε δοκεῖ ἐπὶ ψιλὸν καὶ ὄρθιον τοῖχον ἀναρριχᾶσθαι ἢ πρὸς αἰθούσης κίονα, οὗ ἐστι χερσίν τε καὶ ποσὶν ἀντεχόμενον ἀναβαίνειν, ὥσπερ καθ' ἑκάστην ἡμέραν παραπλήσια ἐπί τε τοὺς ἱστοὺς καὶ τὰ στελέχη τῶν δένδρων ὑπὸ πολλῶν γιγνόμενα ὁρῶμεν. Αἱ αἴθουσαι ἄρα Φοίνικα ἀναβῆναι καὶ ἀποδρᾶναι οὐκ ἐκώλυον. Καὶ ὅτι γε ἐπὶ τοίχους περιβόλου πρὸς τὸ ἔνδον τῆς αὐλῆς αἰθούσας οὐκ ἔχοντας (οἵους τοὺς συνεχεῖς καὶ ἰσοϋψεῖς τοίχους τοὺς παρὰ τοὺς πλαγίους τοίχους τοῦ οἴκου ἀνέχοντας) ἀναβῆναι ἀδύνατον ἦν, τοῦτο δὴ ἀσφαλέστατα ἄλλοθεν γιγνώσκομεν. Ἀπειλημμένων γὰρ τῶν μνηστήρων ἐν τῇ ἀνδρωνίτιδι καὶ Ὀδυσσέως κατατοξεύειν αὐτοὺς ἀρξαμένου Ἀγέλαος ὁρῶν ἄφυκτον τὸν ὄλεθρον πάντων φησίν[2])

> ὦ φίλοι, οὐκ ἂν δή τις ἀν' ὀρσοθύρην ἀναβαίη
> καὶ εἴποι λαοῖσι, βοὴ δ' ὤκιστα γένοιτο;

πρὸς ταῦτα δὲ ὁ αἰπόλος Μελάνθιος ἀποκρινόμενός φησιν

> οὔ πως ἔστ', Ἀγέλαε διοτρεφές· ἄγχι γὰρ αἰνῶς
> αὐλῆς καλὰ θύρετρα, καὶ ἀργαλέον στόμα λαύρης·
> καί χ' εἷς πάντας ἐρύκοι ἀνήρ, ὅς τ' ἄλκιμος εἴη[3]).

---

1) Ἰλ. Ι. 470—77. 2) Ὀδ. Χ. 132—3. 3) αὐτόθι, 136—8.

Καὶ ὅ τι μὲν καθόλου ὁ Μελάνθιος τούτοις λέγειν βούλεται, φανερόν· ἐπεὶ δὲ διὰ τῆς αὐλείου θύρας ἀδύνατόν ἐστιν ἐξελθεῖν, τί μαθὼν νῦν οὐκ ἐθέλει διὰ τῆς ὀρσοθύρας ἐπὶ τὸν στενωπὸν ἐξελθεῖν καὶ ὡς τάχιστα ἀναβὰς ἐπὶ τὸν τοῦ περιβόλου πλάγιον τοῖχον τὸ πλῆθος παρακαλέσαι; Μὴ καὶ ἐνταῦθα αἱ αἴθουσαι ἐμποδὼν ἦσαν καὶ διὰ τοῦτο ἀναβῆναι οὐκ ἠδύνατο; Ἀλλ' οἶμαι μηδένα ἀγνοεῖν, ὅτι ἐν τούτῳ τῷ τόπῳ αἴθουσαι οὐχ ὑπῆρχον. Τί οὖν ἄλλο αὐτὸν κωλύει; ἆρα ἐφοβεῖτο τοὺς ἐν τῇ αὐλῇ, μὴ ἰδόντες αὐτὸν εἰς τὸν στενωπὸν ἐξελθόντα καὶ ἀναβαίνοντα ἐπὶ τὸν τοῖχον κατατοξεύσειαν; Οὐδὲ τοῦτ' ἂν ἔγωγε φαίην· καὶ γὰρ ὑβριστότατος ὢν τῶν Ὀδυσσέως οἰκετῶν καὶ τῇ τόλμῃ μαινόμενος μικρῷ ὕστερον θρασυτέρου ἔργου κατατολμᾷ· ἐξελθὼν γὰρ διὰ τῆς ὀρσοθύρας εἰς τὸν στενωπὸν καὶ ἐλθὼν εἰς τὸν θάλαμον τῶν ὅπλων κομίζει τοῖς ἐν τῇ ἀνδρωνίτιδι μνηστῆρσι. Τοῦτο δὲ παντάπασιν ἀθέατος ὑπὸ τῶν ἐν τῇ αὐλῇ καὶ δεύτερον ποιεῖν ἐπιχειρεῖ. Τί οὖν; εἴπερ ἠδύνατο, οὐκ ἂν ἐπὶ τὸν τοῖχον ἄσμενος ἀναβῆναι ἠβούλετο, ἵνα σωτηρίαν τοῖς φίλοις αὐτῷ μνηστῆρσι περὶ τῆς ψυχῆς κινδυνεύουσιν ἔξωθεν πορίσειε; Ἐκ τούτων οὖν ἱκανῶς, οἶμαι, τάδε ἀποδείκνυται· πρῶτον μὲν ὅτι ὁ Φοῖνιξ ἀπέδρα διὰ τὸ ταπεινὸν εἶναι τὸν περίβολον τῆς πατρῴας οἰκίας, δεύτερον δὲ ὅτι καὶ τῶν αἰθουσῶν μὴ ὑπαρχουσῶν, οὐ μόνον χαλεπὴ ἡ ἐπὶ τοὺς τοίχους ἀνάβασις, ἀλλὰ καὶ παντάπασιν ἀδύνατος, εἴπερ οἱ τοῖχοι ὑψηλοὶ ἐτύγχανον ὄντες· τούτοις δὲ ἕπεται τρίτον, ὅτι ἡ τοῦ Φοίνικος ἀπόδρασις οὐκ ἐστι τεκμήριον, ὡς καὶ ἐν ταῖς τῶν ἄλλων ἀνακτόρων αὐλαῖς αἴθουσαι τῶν πλαγίων τοίχων οὐχ ὑπῆρχον. Τὰ δὲ περὶ Μέδοντος λεγόμενα ὡς ἀπιστότερα καὶ βραχυτέρου λόγου δεῖσθαί μοι δοκεῖ. Ἵνα τοίνυν ὁ Μέδων τῶν ἐν τῇ αὐλῇ διαλεγομένων ἔξωθεν ἀκούειν δύναιτο, πᾶσα ἀνάγκη μὴ πρὸς τῷ προσθίῳ τῆς αὐλείου θύρας τοίχῳ τῷ αἴθουσαν ἐντὸς ἔχοντι ἵστασθαι (ἐποίει γὰρ ἡ αἴθουσα ὥστε μὴ ἀκούειν), ἀλλὰ πρὸς τῷ ἑτέρῳ τῶν πλαγίων, οἷσπερ αἰθούσας μὴ προσεῖναί φασιν. Ἀλλ' ὅπου δὴ ὁ Μέδων ἵστατο, τοῦτο δι' ἀκριβείας τῷ ποιητῇ οὐκ εἴρηται τοσόνδε περὶ αὐτοῦ εἰπόντι, ὡς ἐπεύθετο βουλὰς αὐλῆς ἐκτὸς ἐών[1]). Πῶς οὖν τὰ περὶ αἰθουσῶν τῶν πλαγίων τοίχων ὑπ' αὐτῶν λεγόμενα ἀληθῆ ἂν εἴη, οὐκ εἰδότων πρῶτον

1) Ὀδ. Δ. 677.

ὅπου ὁ Μέδων ἵστατο; Ἀλλὰ καὶ χωρὶς τούτου θῶμεν αὐτὸν πρὸς τῷ ἑτέρῳ τῶν πλαγίων τοίχων ἱστάμενον· ἆρά γε ἠδύνατο διὰ τοίχων οὕτως ὑψηλῶν καὶ παχέων τῶν σιγῇ, ὡς τὸ εἰκός, ἐντὸς διαλεγομένων ἔξωθεν ἀκούειν; Ἀμήχανον τοῦτό γε καὶ παντάπασιν, ᾗπερ τὰ ὄντα πέφυκεν, ἐναντιώτατον. Ἔγωγε οὖν ἡγοῦμαι τοὺς μὲν μνηστῆρας ὑπὸ τῇ αἰθούσῃ τῆς αὐλῆς βουλεύεσθαι, τὸν δὲ Μέδοντα ἐκτὸς τῆς αὐλῆς κατὰ τὸ πρόθυρον διατρίβοντα, ὅπου καὶ αἱ ἕδραι, πάντα τὰ ἔνδον λεγόμενα ῥᾳδίως διὰ τῆς αὐλείου θύρας ἀκοῦσαι[1]). Οὕτω δὴ ὀρθῶς τῆς τοῦ Μέδοντος στάσεως τεθείσης, ἡ τοιαύτη περὶ τῶν αἰθουσῶν τῶν πλαγίων τοίχων γνώμη ἀναιρεῖται. Ὅτι δὲ ἐγὼ περὶ τῶν αἰθουσῶν τούτων τυγχάνω γιγνώσκων, ἐν τῷ τέλει τοῦ περὶ θαλάμου λόγου εἰπεῖν βούλομαι.

Πρόδομος.

Πρόδομος δέ ἐστιν, ὥσπερ καὶ τοὔνομα δηλοῖ, ὁ πρὸ τοῦ δόμου τόπος. Εἰσιόντας οὖν ἢ ἐξιόντας ἐκ τοῦ οἴκου εἰς τὴν αὐλὴν τὸν χῶρον τοῦτον διελθεῖν ἔδει. Δῆλον δὲ τοῦτο ἔκ τε ἄλλων πολλῶν καὶ ἐξ ὧν Ὅμηρος περὶ Ὀδυσσέως εἴρηκε. Πεποίηκε γὰρ αὐτὸν πρῶτον μὲν ἐν τῷ προδόμῳ καθεύδοντα, εἶτα δὲ πρῳῒ ἀναστάντα καὶ τὴν μὲν χλαῖναν καὶ τὰ κώεα εἰς τὴν ἀνδρωνῖτιν, τὴν δὲ βοῆν εἰς τὴν αὐλὴν καταθέντα[2]). Ἐκ τοῦ προδόμου τοίνυν ἐπὶ δύο ἀντίστροφα σημεῖα ὁ Ὀδυσσεὺς χωρεῖ, πρῶτον μὲν ἐπὶ τὴν ἀνδρωνῖτιν, εἶτα δὲ εἰς τοὔμπαλιν ἐπὶ τὴν αὐλήν. Ὁ πρόδομος ἄρα τὸ μέσον δυοῖν σημείοιν ἐστίν, ὁπόθεν εἴτε εἴσω εἴτε ἔξω χωροῦντι ἀνάγκη διελθεῖν. Καὶ ταῦτα μὲν περὶ τοῦ τόπου, ἐν ᾧ ὁ πρόδομος· ἐξ ὧν δὲ ἐν τοῖς ἔμπροσθεν περὶ τῆς τοῦ δόμου αἰθούσης εἴρηκα, δῆλον γίγνεται, ὅτι οὐδὲν ἄλλο ἐστὶν ὁ πρόδομος ἢ τὸ ὥσπερ ζώνη ἐφ' ἅπαν τὸ μῆκος ἐκτεινόμενον εὐθὺς πρὸ τοῦ οἴκου καὶ ὑπὸ τὴν αἴθουσαν ἔδαφος, ἐφ' οὗ διὰ τὸ ὑπόστεγον οἱ ξένοι ἐκοιμῶντο[3]). Ὥστε αἴθουσα μέν ἐστιν ἡ στέγη μετὰ τῶν ὑποβασταζόντων αὐτὴν κιόνων καὶ τοῦ τοίχου τοῦ οἴκου, πρόδομος δὲ τὸ ὑπ' αὐτὴν ἔδαφος.

Ἐνώπια.

Τοῖς μὲν παλαιοῖς καὶ τοῖς νεωτέροις πολλῆς περὶ τῶν

1) Ὀδ. Δ. 599—672 καὶ 677—8. ὅρα καὶ Gerlach, das Haus des Odysseus ἐν τῷ 30. τόμῳ τοῦ Philologus σελ. 504—5. 2) Ὀδ. Χ. 95—7. 3) Ἰλ. Ω. 644, 673. πρβ. Nitzsch, Anm. 1, σελ. 215. Krause, Deinokrates σελ. 491.

ἐνωπίων ἀμφισβητήσεως ὑπαρχούσης εἰκότως συμβέβηκε μὴ ταὐτὰ περὶ τῶν αὐτῶν γιγνώσκειν, ἀλλά τισι μὲν τὰ ἑκατέρωθεν τῆς αὐλείου θύρας πλάγια τοῦ τοίχου μέρη, ἃ εἰς τὴν ὁδὸν βλέπει[1], *ἐνίοις δὲ τοὺς ἐντὸς ἀμφοτέρων τῶν θυρῶν κατὰ τὰς εἰσόδους τοίχους, οἳ ἔνθεν καὶ ἔνθεν τῷ εἰσιόντι ἀνιστάμενοι ἀλλήλοις ἀντίκεινται, ἐνώπια εἶναι δοκεῖν*[2]. *Ἐγὼ δὲ τὰς γνώμας αὐτῶν χαίρειν ἐνταῦθα ἐάσας πειράσομαι ἐξ αὐτῶν τῶν ποιημάτων κατὰ τὸ δυνατὸν ἐπιδεῖξαι, ὅπου τὰ ἐνώπια ἦν. Ἐν μὲν οὖν Ὀδυσσείᾳ λέγεται τὸν Τηλέμαχον καὶ Πεισίστρατον ἀφικομένους εἰς τὸ Μενελάου ἀνάκτορον στῆναι πρῶτον κατὰ τὸ πρόθυρον τῆς αὐλείου θύρας μετὰ τῶν ἵππων, εἶτα δὲ ἰδόντα αὐτοὺς τὸν θεράποντα Ἐτεωνέα, κελεύσαντος τοῦ Μενελάου, προσελθεῖν μετὰ τῶν ἄλλων οἰκετῶν καὶ τοὺς μὲν ἵππους λύσαντας καταδῆσαι ἐφ' ἱππείῃσι κάπῃσι, τὰ δὲ ἅ ρ μ α τ α κ λ ῖ ν α ι π ρ ὸ ς ἐ ν ώ π ι α π α μ φ α ν ό ω ν τ α, αὐτοὺς δὲ τοὺς ξένους ἔνδον πρὸς Μενέλαον εἰσαγαγεῖν*[3]· *μετὰ δὲ ταῦτα διαπραξαμένους πάνθ' ὧν ἕνεκα πρὸς Μενέλαον ἦλθον, καὶ ἀπελθεῖν βουλομένους ζεῦξαι τοὺς ἵππους καὶ ἀναβάντας ἐπὶ τὴν ἅμαξαν ἐξελάσαι προθύροιο καὶ αἰθούσης ἐριδούπου*[4]. *Ἐν δὲ Ἰλιάδι λέγεται τὴν Ἀθηνᾶν καὶ τὴν Ἥραν ἐπιβάσας τῶν ὀχέων ἐξελάσαι διὰ τῶν πυλῶν (τῆς αὐλῆς)*[5], *μετὰ μικρὸν δὲ αὐτῶν ἐπανελθουσῶν τὰς Ὥρας τοὺς μὲν ἵππους λῦσαι καί ἐπ' ἀμβροσίῃσι κάπῃσι καταδῆσαι, τὰ δ' ἅρματα π ρ ὸ ς ἐ ν ώ π ι α π α μ φ α ν ό ω ν τ α κ λ ῖ ν α ι*[6]. *Ἐκ τῶν εἰρημένων γίγνεται φανερόν, ὅτι τὰ ἐνώπια οὐκ ἔστιν ἔξω τῆς αὐλῆς, λέγω δὴ τὰ ἑκατέρωθεν τῆς αὐλείου θύρας κατὰ τὴν ὁδὸν πλάγια τοῦ προσθίου τοίχου, ἀλλ' ἐντὸς αὐτῆς. Εἴπερ γὰρ τὰ ἐνώπια, πρὸς ἃ τὰ ἅρματα ἀφικνουμένων τῶν ξένων ἐκλίνετο, ἐκτὸς τῆς αὐλῆς ἐτύγχανεν ὄντα, οὐκ ἂν ἀπερχομένων αὐτῶν ὀλίγῳ ὕστερον τὸ ἐξελαύνειν τοῦ προθύρου καὶ τῆς αἰθούσης περὶ*

---

1) *Εὐσταθ. ἐν Ἰλ. Θ. σελ.* 722, 4. Schol. graec. Dind. *τομ.* 1, *σελ.* 290. 2) Rumpf, de aed. Hom. 1, *σελ.* 13 *κ. ἑξῆς, καὶ* Taf. 1, Fig. 2, c. *ἐνώπια πυλῶνος. ι, ἐνώπια δώματος.* Schol. graec. Dind. *ἐν Ἰλ. Ν. τομ.* 2, *σελ.* 14. *Πολυδ. ὀνομ.* 2, 53. Fäsi [Kayser] *ἐν Ὀδ. Δ.* 42. *Ὁ δὲ* Autenrieth, Hom. Wörterb. *σελ.* 100, *καὶ ὁ* Seiler *ἐν τῷ* Hom. Wörterb. *σελ.* 217, *καὶ* Ameis (Hentze) *ἐν Ὀδ. Δ.* 42. *θέλουσιν ἐνώπια εἶναι μόνους τοὺς ἐναντίον κειμένους τῆς αὐλείου θύρας τοίχους, ὡς καὶ ὁ* Nitzsch, Anm. *τομ.* 1, *σελ.* 236. 3) *Ὀδ. Δ.* 20—42. 4) *Ὀδ. Ο.* 146. *πρβ. καὶ* 191. 5) *Ἰλ. Θ.* 393. 6) *Ἰλ. Θ.* 433—5.

αὐτῶν ἐλέγετο. Ἔπειτα δὲ τοσαύτης εὐρυχωρίας ἐν τῇ αὐλῇ ὑπαρχούσης παντάπασιν ἄπιστον δοκεῖ ἔξω κατὰ τὴν ὁδὸν αὐτὰ καταλείπειν. Ἔνδον ἄρα ἐν τῇ αὐλῇ τὰ ἐνώπια ἦν. Λοιπὸν ἤδη εἰπεῖν καὶ ὅπου τῆς αὐλῆς ὑπῆρχε. Φημὶ τοίνυν ἐνώπια τὰ ἑκατέρωθεν τῆς θύρας τῆς ἀνδρωνίτιδος πλάγια τοῦ τοίχου μέρη, ἃ εἰς τὴν αὐλὴν βλέπει. Δῆλον δὲ τοῦτο γίγνεται ἐκ τῶνδε· λέγεται γὰρ Ὀδυσσέα πρὸ τῆς θύρας τῆς ἀνδρωνίτιδος ἑστῶτα καὶ τοῖς ὑπὸ Τηλεμάχου κομισθεῖσιν ὅπλοις ἐξοπλίσασθαι βουλόμενον πρῶτον μὲν κλῖναι τὸ τόξον πρὸς τὸν τῆς θύρας σταθμόν, πρὸς ἐνώπια παμφανόωντα, εἶτα δὲ τὴν ὅλην πανοπλίαν ἀναλαβεῖν. Ἀλλ' ἄμεινόν μοι δοκεῖ αὐτὰ τὰ ἔπη ἐνταῦθα παραθεῖναι

αὐτὰρ ἐπεὶ λίπον ἰοὶ ὀιστεύοντα ἄνακτα,
τόξον μὲν πρὸς σταθμὸν ἐυσταθέος μεγάροιο
ἔκλιν' ἑστάμεναι, πρὸς ἐνώπια παμφανόωντα,
αὐτὸς δ' ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον [1]).

Ἀλλ' ὅτι μὲν τὰ ἐνώπια οὐκ ἦν ἐκτὸς τῆς αὐλῆς, φανερὸν ἐκ τῶν εἰρημένων, εἴποι τις ἂν ἴσως· ὅτι δὲ καὶ πρὸς τὰ ἔξω τῆς θύρας τῆς ἀνδρωνίτιδος ταῦτα ὑπῆρχε, τοῦτο οὔπω δέδεικται· οὐ γὰρ σαφὲς ἔτι ὁποτέρωθι τῆς παραστάδος τὸ τόξον κέκλιται, πρὸς τὰ ἔνδον ἢ πρὸς τὰ ἔξω· ὥστε ἡ γνώμη τῶν τιθέντων αὐτὰ ἐντὸς τῆς ἑτέρας τῶν εἰσόδων ἀληθὴς ἂν εἴη. Ταῦτα μὲν τάχα ἄν τις εἴποι· οὐ χαλεπὸν ὅμως ἔμοιγε δοκεῖ ἐπιδεῖξαι, ὅπως γε αὐτὸ τὸ πρᾶγμα ἔχει. Ἐπεὶ γὰρ Ὀδυσσεὺς τοῦ σκοποῦ ἐν τῷ μεγάρῳ ἔτυχε καὶ μετὰ τοῦτο ἔχων τὸ τόξον ἐπὶ τὴν φλιὰν ἐπήδησεν, ὁπόθεν τοὺς μνηστῆρας κατατοξεύειν ἤρξατο [2]), εἴ τις μετὰ τοῦτο ἐρωτᾶν βούλοιτο, πότερον ἂν πιστότερον δοκοίη πρὸς τὸ ἔνδον τῆς φλιᾶς ἐν τῷ στενῷ καὶ ἀφυλάκτῳ τοῦ προθύρου χώρῳ ψιλὸν ὄντα αὐτὸν ἵστασθαι ἢ πρὸς τὸ ἔξω στηριζόμενόν γε τῷ ἑτέρῳ ποδὶ ἐπ' αὐτῆς καί, ὁπότε δέοι, δυνάμενον μὴ μόνον ἀκωλύτως κινεῖσθαι, ἀλλὰ καὶ μικρὸν παρεκκλίνοντα τῷ ἔξωθεν τοίχῳ ἑαυτὸν ἐν ἀσφαλεῖ σκέπειν; Ἔμοιγε πάντως τὸ δεύτερον πιστότερον δοκεῖ. Εἰ δὲ τοῦτο ἀληθές, εἰκὸς καὶ τὰ ἐνώπια, πρὸς ἃ ὁ Ὀδυσσεὺς τὸ τόξον ἔκλινε πρὸς τὰ ἔξω πλάγια τῆς θύρας εἶναι καὶ μὴ πρὸς τὰ ἔνδον. Ἀλλὰ καὶ χωρὶς τούτου εἴπερ τὰ ἐνώπια ἔνδον τῶν θυρῶν ἦν, πῶς ἂν ἔπειτα οἷόν τ' ἦν τὰ ἅρματα πρὸς αὐτὰ κλίνειν, ὅπου κείμενα,

1) Ὀδ. Χ. 119 καὶ ἑξῆς. 2) Ὀδ. Χ. 2 καὶ ἑξῆς.

τὰς εἰσόδους ἂν ἀπέφρασσεν ἢ πῶς ἂν οἷόν τ' ἦν εἴκοσι μακρὰ δόρατα ἐνταῦθα ἱστάναι, καθάπερ λέγεται ὅτι τοσαῦτα ἐν τῇ τοῦ Ἰδομενέως κλισίῃ πρὸς τὰ ἐνώπια ἐκέκλιτο[1]); Διὰ ταῦτα τοίνυν οὐ μόνον πρὸς τὰ ἔνδον τῆς εἰσόδου τῆς θύρας τῆς ἀνδρωνίτιδος ἀδύνατον τὰ ἐνώπια ὑπάρχειν, ἀλλὰ καὶ πρὸς τὰ ἔνδον τῆς αὐλείου θύρας. Πάντες δέ που οἱ τὰ Ὁμήρου ἐξηγούμενοί φασι τὰ ἐνώπια παμφανόωντα τῷ ποιητῇ ἐπωνομάσθαι διὰ τὸ λευκῷ τινι κονιάματι ἢ τιτάνῳ ἀληλίφθαι[2]). Οὕτω δ' ἂν αὐτὰ καλοῖτο τὰ λαμπρὰ καὶ τοῖς ἀντιβλέπουσιν ἀπαστράπτοντα. Ἡσύχιος μέντοι ἑρμηνεύων τοίχους καταφωτιζομένους αὐτὰ εἴρηκεν ἀποβλέψας εἰς τὰ μέγαρα σκιόεντα[3]), ἃ τὰ σύσκια καὶ σκοτεινὰ κατ' αὐτὸν σημαίνει. Δοκεῖ δ' ἴσως αὐτῷ οὕτως ἄμφω εἰρῆσθαι διὰ τὸ ἐκεῖνα μὲν πολὺ φῶς, ταῦτα δὲ ὀλίγον ἀπὸ τοῦ τῆς αὐλῆς ὑπαίθρου ἔχειν[4]).

Χόρτος, δάπεδον, βωμὸς τοῦ ἑρκείου Διός.

Ὁ μὲν τῆς αὐλῆς χῶρος μετὰ τοῦ περιέχοντος αὐτὸν πάντοθεν περιβόλου χόρτος καλεῖται[5]), τὸ δὲ ἔδαφος δάπεδον[6]), ὃ τυκτὸν ἐπονομάζεται, ἅτε λίστρῳ ὡμαλισμένον πρὸς τὸ ῥᾳδίως ἐν αὐτῷ βαδίζειν. Ἔν γε μὴν τῷ τυκτῷ τῆς αὐλῆς δαπέδῳ οἱ τῆς Πηνελόπης μνηστῆρες τέρπεσθαι εἰώθεσαν δίσκους καὶ αἰγανέας βάλλοντες[7])· ὅθεν καὶ τὴν εὐρυχωρίαν αὐτοῦ ῥᾳδίως ἄν τις τεκμήραιτο. Ἵδρυτο δ' ἐν τῷ μέσῳ βωμὸς Διὶ τῷ ἑρκείῳ, ᾧ ἐφόρῳ καὶ προστάτῃ τοῦ οἴκου ὄντι θυσίας ἐποιοῦντο. Ὁ γοῦν Νέστωρ καὶ Ὀδυσσεὺς ἀφικόμενοι εἰς τὰ τοῦ γέροντος Πηλέως βασίλεια καταλαμβάνουσιν αὐτὸν ἐν τῇ αὐλῇ θύοντα

γέρων δ' ἱππηλάτα Πηλεὺς
πίονα μηρί' ἔκαιε βοὸς Διὶ τερπικεραύνῳ
αὐλῆς ἐν χόρτῳ· ἔχε δὲ χρύσειον ἄλεισον
σπένδων αἴθοπα οἶνον ἐπ' αἰθομένοις ἱεροῖσιν[8]).

---

1) Ἰλ. Ν. 261. πρβ. Lex. Hom. Ebeling σελ. 426 ἐν λέξει ἐνώπια. A. Winckler, Wohnh. d. Hell. σελ. 26. 2) Fäsi [Kayser] ἐν Ὀδ. Δ. 42 καὶ Ameis (Hentze) αὐτόθι. 3) Ὀδ. Α. 365, Δ. 768. Ν. 2. 4) Ἡσύχ. „ἐνώπια.“ ὅρα καὶ Schol. Ambr. ed. Buttm. ἐν Ὀδ. Δ. 42. σελ. 122. 5) Ἰλ. Λ. 774. Ω. 640. ὅρα καὶ Εὐστάθιον ἐν Ἰλ. Λ. σελ. 883, 40. Κουρτίου ἐτυμολογικὸν σελ. 200. 6) Ὀδ. Δ. 627. 7) Ὀδ. Δ. 626—7. 8) Ἰλ. Λ. 772—5. πρβ. Π. 231. Ὀδ. Χ. 334—5 καὶ 379. Εὐστάθ. ἐν Ὀδ. Χ. σελ. 1930, 2. Ἀθην. 5, 189 f.

Οὐ μὴν ἀλλὰ καὶ κατὰ τοὺς ὕστερον χρόνους ὁ τοῦ Ἑρκείου Διὸς βωμὸς παρέμενεν ἐν τῇ αὐλῇ ἱδρυμένος, ὥσπερ ἔστι μαθεῖν ἐκ τῆς τοῦ Πλάτωνος πολιτείας[1]), ἔνθα παραπλήσια τοῖς περὶ Πηλέως εἰρημένοις ὑπὸ τοῦ φιλοσόφου λέγεται. Ἐλθὼν γὰρ ὁ Σωκράτης μετὰ πολλῶν ἄλλων εἰς τὴν Πειραιοῖ τοῦ Κεφάλου οἰκίαν καταλαμβάνουσιν αὐτὸν ἄρτι ἐν τῇ αὐλῇ τεθυκότα.

Οἰκήματα καὶ θάλαμοι τῆς αὐλῆς.

Τῶν δὲ ἐν τῇ αὐλῇ οἰκημάτων τὰ μέν ἐστι μονήρη, τὰ δὲ συνεχῆ καὶ ὥσπερ Ὅμηρός φησι θάλαμοι πλησίον ἀλλήλων δεδμημένοι[2]). Καὶ μονήρη μέν ἐστι τὰ ἐν τῷ ὑπαίθρῳ τῆς αὐλῆς, ἃ πολλαχῶς κατὰ τὴν χρείαν καλεῖται· συνεχῆ δὲ τὰ συναφῆ τῷ περιβόλῳ καὶ ἑξῆς ἀλλήλων καὶ τὰς εἰσόδους ὑπὸ ταῖς τῶν αἰθουσῶν στέγαις ἔχοντα, ἅγε θάλαμοι ἰδίᾳ ἂν ἐπονομάζοιντο[3]). Καὶ ὁ μὲν τοῦ Τηλεμάχου θάλαμος πεποίηται ἐν τῇ αὐλῇ ᾠκοδομημένος περισκέπτῳ ἐνὶ χώρῳ[4]). Ἔστι δὲ περίσκεπτος χῶρος οὐδὲν ἕτερον ἢ ὁ κεχωρισμένος καὶ πάντοθεν ὁρώμενος, καθάπερ οἱ παλαιοὶ ὀρθῶς ἑρμηνεύουσιν[5]). Μονήρης ἦν ἄρα ὁ τοῦ Τηλεμάχου θάλαμος. Ὁ δὲ τῆς Ναυσικᾶς πολυδαίδαλος θάλαμος φαίνεται καὶ αὐτὸς ἐκτὸς τοῦ οἴκου ἐν τῇ αὐλῇ κείμενος[6]). Ἡ γὰρ Ναυσικᾶ ἐκ τοῦ ὕπνου ἐγερθεῖσα καὶ εἰς τὸν οἶκον πορευθεῖσα, ἵνα εἴποι τοῖς γονεῦσιν, ὅσα ἐν τῷ ὀνείρῳ ἡ Ἀθηνᾶ αὐτῇ ἐσήμηνεν, ἐνέτυχε τῷ πατρὶ πρὸς τοὺς δημογέροντας τῶν Φαιάκων πορευομένῳ κατὰ τὴν θύραν τῆς ἀνδρωνίτιδος[7]). Οὐδαμόθεν μέντοι γίγνεται δῆλον, εἴπερ καὶ αὐτὸς μονήρης ἦν ἢ μή. Καίτοι γε οὐδέν, οἶμαι, κωλύει αὐτὸν κατὰ πάντα τῷ Τηλεμάχου θαλάμῳ ἀντιστοιχεῖν ἡγεῖσθαι.

Ἡ θόλος.

Ἀλλὰ μὴν καὶ ἄλλο μονῆρες οἴκημα ἐν τῇ Ὀδυσσέως αὐλῇ ἦν, ὃ θόλος καλεῖται[8]). Ἔκειτο δὲ ἡ θόλος οὐχ ὥς τινες βούλονται ἐν τῇ ἑτέρᾳ τῶν γωνιῶν τῆς τοῦ δόμου αἰθούσης[9]), ἀλλὰ πρὸς τῇ ἑτέρᾳ γωνίᾳ τῆς αἰθούσης τῆς αὐλῆς. Εἰ δέ τις ἀκριβῶς τι περὶ τούτου μαθεῖν βούλεται, ὧδε σκεψάσθω. Εἴπερ γὰρ ἡ

1) Ι. σελ. 328 Β. 2) Ἰλ. Ζ. 245. 3) Nitzsch, Anm. 1, σέλ. 215. 4) Ὀδ. Α. 425—6. 5) Ἡσυχ. ἐν λ. Schol. Ambr. ἐν Ὀδ. Α. σελ. 45. 6) Ὀδ. Ζ. 15. πρβ. Η. 6—7. Ὅρα καὶ Rumpf, de aed. Hom. 1, σελ. 25. 7) Ὀδ. Ζ. 50—5. 8) Ὀδ. Χ. 442, 559, 466. 9) Ὅρα Rumpf, de aed. Hom. 1, σελ. 26 καὶ Taf. 1, Fig. Β. f.

θόλος πρὸς τῇ ἑτέρᾳ τῶν γωνιῶν τῆς τοῦ δόμου αἰθούσης ἦν, οἶμαι ἂν μὴ εἰρῆσθαι τὸν Τηλέμαχον ἐξαγαγεῖν τὰς θεραπαινίδας μεσηγύς τε θόλου καὶ ἕρκεος αὐλῆς καὶ συνῶσαι ἐν στείνει, ὅθεν οὔπως ἦν ἀλύξαι· ἐν γὰρ ἑκατέρᾳ τῶν ταύτῃ γωνιῶν τὰ στόμια ἑκατέρας τῆς λαύρας ἦν. Φημὶ δήπου τῶν στομίων τούτων θάτερον μὲν εἶναι δι' οὗ ὁ Τηλέμαχος ἐκ τῆς αὐλῆς εἰς τὸν τῶν ὅπλων θάλαμον ἀπῆλθεν[1]), θάτερον δὲ δι' οὗ ὁ Φήμιος ἀρξαμένου τοῦ φόνου τῶν μνηστήρων ἐκ τῆς ἀνδρωνίτιδος εἰς τὸν ἐν τῇ αὐλῇ τοῦ ἑρκείου Διὸς βωμὸν καταφυγεῖν διενοεῖτο[2]). Εἴπερ οὖν ἐν τῇ ἑτέρᾳ τῶν γωνιῶν τῆς τοῦ δόμου αἰθούσης ἡ θόλος ἔκειτο, παντάπασιν ἀνάρμοστον ἦν τὸ λεγόμενον

εἴλεον ἐν στείνει, ὅθεν οὔ πως ἦεν ἀλύξαι[3]).

Καὶ ὅπου μὲν τῆς αὐλῆς ἡ θόλος ἔκειτο, ἱκανῶς, οἶμαι, δεδήλωται. Τὴν δὲ κατασκευὴν ἦν κυκλοτερής, ὥσπερ καὶ τοὔνομα αὐτὸ δηλοῖ· ἐχρῶντο δὲ τῇ θόλῳ, καθὰ οἱ παλαιοί φασι, ταμιείῳ, ἐν ᾧ τὰ καθ' ἑκάστην ἡμέραν χρήσιμα τῶν σκευῶν ἀπετίθετο, λέγω δὲ τοὺς πίνακας, τοὺς κρατῆρας, τὰ ἐκπώματα καὶ τὰ τούτοις παραπλήσια[4]).

Θάλαμοι τῆς αὐλῆς.

Τῶν δὲ ὑπὸ ταῖς αἰθούσαις συνεχῶν θαλάμων οἱ μὲν ἦσαν κοιτῶνες, ἐν οἷς οἱ τῶν ἡγεμόνων παῖδες ἐκοιμῶντο, οἱ δὲ ἑτέρας χρείας. Οὐκοῦν ὁ ὑπὸ τῇ αἰθούσῃ τοῦ δόμου κείμενος θάλαμος, ἐν ᾧ ὁ Φοῖνιξ ἐφυλάσσετο, κοιτὼν ἦν αὐτῷ[5]). Καὶ οἱ θάλαμοι μέντοι, ἐν οἷς οἱ Νέστορος υἱεῖς, ἴσως δὲ καὶ οἱ γαμβροί, ἐκοιμῶντο, τοιοῦτοι, ὡς ἔοικε, κοιτῶνες ὑπὸ ταῖς αἰθούσαις εἰσίν[6]), ὡς γίγνεται δῆλον ἐξ ὧν Ὅμηρος ἐν Ἰλιάδι περὶ τῶν ἐν τῇ αὐλῇ θαλάμων τῶν Πριάμου ἀνακτόρων εἴρηκεν[7]). Ἐν γὰρ τοῖς θαλάμοις τούτοις, οἳ πεντήκοντα τὸ πλῆθος ἦσαν, οἱ τοῦ Πριάμου παῖδες ταῖς γαμεταῖς γυναιξὶ συνεκοιμῶντο, καὶ ἐν ἑτέροις δώδεκα τὸν ἀριθμὸν αἱ θυγατέρες τοῖς ἀνδράσιν. Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος βούλομαι ὀλίγῳ μακρότερον περὶ ἁπάντων

---

1) Ὀδ. Χ. 109—12. 2) Ὀδ. Χ. 330—7. 3) Ὀδ. Χ. 459—60. ὅρα καὶ Gerlach, das Haus des Odysseus ἐν τῷ 30. τόμῳ τοῦ Philologus σελ. 506. Krause, Deinokrates σελ. 493—4. 4) Εὐστάθ. ἐν Ὀδ. Χ. σελ. 1934, 11. Ἡσυχ. ἐν λ. θόλος. Schol. Ambr. σελ. 546. 5) Ἰλ. Ι. 475, 473. 6) Ὀδ. Γ. 396, 413. 7) Ἰλ. Ζ. 242—250.

τῶν ἐν τῇ αὐλῇ τοῦ Πριάμου θαλάμων εἰπεῖν. Ὁρῶ γὰρ τοὺς περὶ τούτων πραγματευσαμένους οὐ μόνον πλεῖστον ταῖς γνώμαις ἀλλήλων διαφέροντας, ὅπῃ καὶ ὅπως αὐτοὶ ἐν τῇ αὐλῇ διατεθειμένοι ἦσαν, ἀλλ' ἐνίους αὐτῶν καὶ παράδοξα λέγοντας μηδέποτε Ὅμηρον τὴν Πριάμου οἰκίαν θεάσασθαι, καὶ διὰ τοῦτο μὴ ἱκανὸν γενέσθαι σαφῶς αὐτὴν ἐν τοῖς ποιήμασιν ἡμῖν ἐπιδεῖξαι[1]. *Καίτοι πῶς οὐ θαυμαστὸν αὐτοὺς τοῦτο λεληθέναι, ὅτι, εἴγε μὴ διὰ τῶν ὀφθαλμῶν, ἀλλ' οὖν διὰ τῆς γνώμης θεάσασθαι αὐτὴν Ὅμηρος ἠδύνατο; Τίνες γὰρ οὐ μόνον τῶν ἀρχαίων ποιητῶν, ἀλλὰ καὶ τῶν πώποτε γενομένων, ὅσα πεποιήκασιν, ἅπαντα ἑωρακότες τυγχάνουσιν, ἐξὸν αὐτοῖς τὰ μὲν παρ' ἄλλων μανθάνειν, τὰ δὲ καὶ ἐοικότα ποιεῖν;*

Ἀλλ' ἐπανιὼν εἰς τὰ τῶν θαλάμων βούλομαι πρῶτον αὐτὰ τὰ ἔπη ἐνταῦθα παραθεῖναι πρὶν τὰς γνώμας τῶν ἄλλων καταλέξαι

242. *Ἀλλ' ὅτε δὴ Πριάμοιο δόμον περικαλλέ' ἵκανε,*
ξεστῇς αἰθούσῃσι τετυγμένον, αὐτὰρ ἐν αὐτῷ
πεντήκοντ' ἔνεσαν θάλαμοι ξεστοῖο λίθοιο,
πλησίον ἀλλήλων δεδμημένοι· ἔνθα δὲ παῖδες
κοιμῶντο Πριάμοιο παρὰ μνηστῇς ἀλόχοισι.
κουράων δ' ἑτέρωθεν ἐναντίοι ἔνδοθεν αὐλῆς
δώδεκ' ἔσαν τέγεοι θάλαμοι ξεστοῖο λίθοιο
πλησίον ἀλλήλων δεδμημένοι· ἔνθα δὲ γαμβροὶ
250. *κοιμῶντο Πριάμοιο παρ' αἰδοίῃς ἀλόχοισιν.*
ἔνθα οἱ ἠπιόδωρος ἐναντίη ἤλυθε μήτηρ
Λαοδίκην ἐσάγουσα, θυγατρῶν εἶδος ἀρίστην.

Τῶν τοίνυν τὰ ἔπη ταῦτα ἐξηγουμένων οἱ μέν φασι τοὺς μὲν πεντήκοντα θαλάμους τῶν υἱέων πρὸς τῷ ἑτέρῳ τῶν πλαγίων τοίχων τῶν ἐς μῆκος διηκόντων κεῖσθαι, τοὺς δὲ δώδεκα τῶν θυγατέρων πρὸς τῷ ἑτέρῳ καὶ ἐναντίον κειμένῳ, ὥστε τοὺς μὲν τούτων ἐν δεξιᾷ, τοὺς δὲ ἐν ἀριστερᾷ τῷ διὰ τῆς αὐλείου θύρας εἰσιόντι ὑπάρχειν[2]. *Οἱ δὲ τἀναντία τούτοις λέγοντες τοὺς μὲν πεντήκοντα πρὸς τῷ τοίχῳ τῆς αὐλείου θύρας τιθέασι, τοὺς δὲ δώδεκα πρὸς τῷ ἑτέρῳ καὶ ἀντικειμένῳ αὐτῷ τοῦ οἴκου τοίχῳ τάσσουσιν*[3]· *ἄλλοι δὲ τούς τε τῶν υἱέων καὶ τοὺς τῶν θυγατέρων θαλάμους ἐν τοῖς ὑπερῴοις οἰκήμασι τιθέασι*[4]. *Καὶ ταῦτα μὲν οὗτοι. Ἐγὼ δὲ ἐπειρώμην ἂν καὶ τούτων τὰς γνώμας*

1) Lex. Hom. Ebeling *σελ.* 552 *ἐν λ. θάλαμος.* 2) Rumpf, de aed. Hom. 1, *σελ.* 24. 3) J. La Roche, *Ὁμ. Ἰλ. Ζ.* 247—8. Lex. Hom. Ebeling *σελ.* 552 *ἐν λ. θάλαμος.* 4) A. Winckler, die Wohnh. der Hellenen *σελ.* 56—57.

ἀναιρεῖν, εἴ τι καὶ σμικρὸν ὄφελος τῇ παρούσῃ πραγματείᾳ προσγιγνόμενον ἑώρων· νῦν δὲ καὶ ταύταις πολλὰ χαίρειν εἰπὼν πειράσομαι πρῶτον τὴν τῶν πεντήκοντα θαλάμων ἐν τῇ αὐλῇ διάθεσιν σαφηνίσαι, εἶτα δὲ καὶ περὶ τῆς τῶν δώδεκα τὰ προσήκοντα ἐρῶ. Ὁ μὲν δὴ Ὅμηρος πεποίηκε τοὺς ἐν τῇ αὐλῇ θαλάμους ἴσους τὸν ἀριθμὸν τοῖς Πριάμου υἱέσι· πεντήκοντα γὰρ αὐτῷ ἦσαν[1]*· ἡμεῖς δὲ ἐξ αὐτῶν αὖ τῶν ποιημάτων γιγνώσκομεν, ὅτι οἱ δύο τοῦ Πριάμου υἱεῖς, Ἀλέξανδρος καὶ Ἕκτωρ, χωρὶς ἐν ἰδίοις ἀνακτόροις ᾤκουν*[2]*, ὥστε οἱ ἐν τῇ αὐλῇ θάλαμοι, ἀκριβῶς εἰπεῖν, οὐ πεντήκοντα, ἀλλ᾽ ὀκτὼ καὶ τεσσαράκοντα τὸ πλῆθος ἦσαν. Τί οὖν; φήσομεν Ὅμηρον τοιαῦτα ποιοῦντα τἀναντία ἑαυτῷ λέγειν; Οὐ μὰ Δί᾽ οὐδὲν τοιοῦτον ἔγωγ᾽ ἂν φθεγξαίμην. Ἀλλὰ τί φῶμεν; οὐδέν τι ἄλλο, οἶμαι, ἢ καὶ τὸν Ὅμηρον, ὥσπερ πάντας τοὺς ἀρχαίους ποιητὰς καὶ συγγραφέας, μνείαν τῶν ἐν τῇ αὐλῇ θαλάμων ποιησάμενον τῷ δὴ στρογγύλῳ ἀριθμῷ καλουμένῳ χρήσασθαι. Ἀλλὰ πρὸς τί σκοπῶν ταῦτα λέγω, εἴποι τις ἂν ἴσως; πρόσχες μοι μόνον τὸν νοῦν καὶ αὐτίκα μαθήσῃ, ὅ, τι καὶ λέγειν βούλομαι. Εἴπερ γὰρ ἑκάστῃ τῶν τεσσάρων τῆς αὐλῆς πλευρῶν δώδεκα τῶν θαλάμων προσνεῖμαι βούλοιο, οὐ μόνον τὸ κεφάλαιον αὐτῶν αὖθις ἕξεις, ἀλλὰ καὶ τῆς ἐν τῇ αὐλῇ συμμετρίας παραχρῆμα αἴσθησιν ἂν λάβοις. Καὶ οὕτω μὲν δή σοι οὗτοι οἱ ὀκτὼ καὶ τεσσαράκοντα θάλαμοι εὐρύθμως ἐν τῇ αὐλῇ διατεθειμένοι ἂν εἶεν. Ἀλλὰ τούς γε δώδεκα, τοὺς ἑτέρους τῶν θυγατέρων λέγω, ποῦ τῆς αὐλῆς θῶμεν; μεστὴ γὰρ ἅπασα θαλάμων ἐστὶ καὶ οὐκέτι χῶρος αὐτοῖς ὑπολείπεται. Ἔχε δή· καὶ περὶ τούτου νῦν σκεψόμεθα· ὁ γὰρ ὀρθῶς τὴν ὑπόνοιαν τῶν ἐπῶν ἐπιστάμενος οὐκ ἀπορήσει, οἶμαι, ὅπως εὖ τε καὶ κατὰ κόσμον καὶ τούτους διαθήσει. Φημί τοίνυν τούτους τοὺς θαλάμους ἐπὶ τοῦ προσθίου τοῦ οἴκου τοίχου κεῖσθαι, ὃς καὶ τὴν τετάρτην τῶν πλευρῶν τῆς αὐλῆς πρὸς τὰ ἔνδον ἐποίει· οὐ μὴν ἰσόγεως ᾠκοδομῆσθαι, ἀλλ᾽ ἐκ τοῦ μέσου τοίχου καὶ ἄνωθεν τῆς στέγης τῆς αἰθούσης αὐτοὺς ἄρχεσθαι καὶ πρὸς τὰ ἄνω ἰέναι καὶ διὰ τοῦτο τεγέους ὑπὸ τοῦ ποιητοῦ ἐπωνομάσθαι. Τὸ δέ τοι τέγεος τοῦτο μιᾷ γνώμῃ ὑπὸ πάντων τῶν παλαιῶν τῷ ὑπερῷος ὀρθότατα ἑρμηνευόμενον*[3]

---

1) Ἰλ. *Ω.* 495. 2) Ἰλ. *Ζ.* 313—8. 3) *Ἡσυχ. ἐν τῷ ὀνόματι τέγεοι. Λεξ. Ἀπολλ. Σοφ. σελ.* 150, 25. Schol. Gr. Dind. *τομ.* 1, *σελ.* 238. *πρβ.*

μηδὲν ἄλλο σημαίνειν βούλεται ἢ τὸ ὑπερκείμενον καὶ τὸ κατὰ ταὐτὰ τοῖς ὑπερῴοις οἰκήμασιν ᾠκοδομημένον καί, ὥσπερ ἂν οἱ νῦν Ἕλληνες εἴποιμεν, τὸ ἀνώγεον. Τῶν οὖν τεσσάρων μοιρῶν τῶν ἐν τῇ αὐλῇ θαλάμων τῶν υἱέων ἡ μία, ἧς ἡ τοῦ δόμου αἴθουσα προὔκειτο, ὑπὸ τούτοις τοῖς ἐν τῷ μετεώρῳ κειμένοις θαλάμοις ἦν· ὥστε τῶν ἄλλων τριῶν τῆς αὐλῆς τοίχων ἀνὰ δώδεκα θαλάμους τῶν υἱέων ἐχόντων, οὑτοσί, ὁ τοῦ δόμου, τέσσαρας καὶ εἴκοσι, κάτωθεν μὲν δώδεκα τῶν υἱέων, ἄνωθεν δὲ ἑτέρους τοσούτους τῶν θυγατέρων. Καὶ αὐτὰ δὴ τὰ ἔπη εὖ τῷ ἐμῷ λόγῳ συμμαρτυρεῖν ἔοικε

> *κουράων δ' ἑτέρωθεν ἐναντίοι ἔνδοθεν αὐλῆς*
> *δώδεκα ἔσαν τέγεοι θάλαμοι.*

Ἔνθα δὴ πολλή γε ἀνάγκη τὸ ἑτέρωθεν ὀρθῶς συνιέναι, τὰ δὲ ἐπιόντα αὐτῷ ἀκόλουθα καὶ ῥᾴδια. Ἑρμηνεύων οὖν αὐτὸ „πρὸς τοῦ τοίχου τοῦ δόμου τοὺς θαλάμους ᾠκοδομῆσθαι" ὀρθότατ' ἂν ἐξηγοῖο. Φαίνεται γὰρ Ὅμηρος τῷ ἑτέρωθεν χρησάμενος εἰς δύο μοίρας σύμπαντας τοὺς ἐν τῇ αὐλῇ θαλάμους διαιρουμένους ἐννοῶν, εἰς τὴν ἄλλην αὐτῶν διάθεσιν οὐκ ἀποβλέπων, εἰς τὴν τῶν υἱέων καὶ εἰς τὴν τῶν θυγατέρων. Εἰπὼν οὖν πρῶτον περὶ τῶν θαλάμων τῶν υἱέων ὡς περὶ μιᾶς μοίρας τὸ σύνολον, προσηκόντως ἔπειτα ἐπήγαγε τὸ „κουράων δ' ἑτέρωθεν". Εἰκὸς δὲ μετὰ τοῦτο τοὺς θαλάμους ἐναντίους ἔνδοθεν αὐλῆς εἰρῆσθαι, ἅτε εἰς τὴν αὐλὴν βλέποντας καὶ πρὸ αὐτῶν ἓξ καὶ τριάκοντα ἑτέρους θαλάμους τῶν υἱέων ἔχοντας. Ὀρθῶς δὲ καὶ ὁ τῆς Ἰλιάδος παλαιὸς παραφραστὴς τὸ χωρίον τοῦτο ἐν τοῖσδε ἡρμήνευκε „τῶν δὲ θυγατέρων ἐκ τοῦ ἑτέρου ἐξ ἐναντίας ἔνδοθεν τῆς αὐλῆς δώδεκα ἦσαν ὑπερῷοι οἶκοι πλησίον ἀλλήλων ᾠκοδομημένοι" 1). Καὶ ταῦτα μὲν περὶ τῆς τῶν θαλάμων διαθέσεως. Φαίνονται δὲ οἱ τῶν θυγατέρων θάλαμοι διὰ κλίμακός τινος ἐκτὸς τοῦ οἴκου τῇ αὐλῇ κοινωνοῦντες, ὅθεν εἰς τὸν οἶκον εἰσήρχοντο. Ἡ γὰρ Ἑκάβη ἐκ τούτων τῶν θαλάμων παραλαβοῦσα τὴν Λαοδίκην εἰσάγει εἰς τὴν ἀνδρωνῖτιν, ὅπου ὁ Ἕκτωρ ἀνέμενεν 2). Εἴπερ οὖν διὰ κλίμακός τινος καὶ διόδου τῶν ἐντὸς τοῦ οἴκου θαλάμων κατελθοῦσα εἰς τὴν

Krit. u. exeget. Anhang von Ameis (Hentze) *ἐν Ὁμ. Ἰλ.* 2. Heft, *σελ.* 71. [*Ἰλ. Ζ.* 248]. 1) *Παραφρ. Ἰλ. Ζ. σελ.* 690, 247—50. ed. Bekker. 2) *Ἰλ. Ζ.* 251—2 *ὅρα καὶ* La Roche *αὐτόθι.*

ἀνδρωνῖτιν εἰσήρχετο, καὶ μὴ ἐκ τῆς αὐλῆς, οὐκ ἂν, οἶμαι, περὶ αὐτῆς τὸ εἰσάγειν ἐλέγετο. Ἐν δὲ ταῖς αὐλαῖς τῶν ἡγεμόνων, οἷς οὐ τοσοῦτοι τὸ πλῆθος παῖδες ἦσαν, οἱ ὑπάρχοντες θάλαμοι μυλῶνες καὶ ἱστῶνές εἰσιν. Ἐν μὲν γὰρ τῇ αὐλῇ τῶν Ἀλκίνου ἀνακτόρων πεντήκοντα δμωαὶ γυναῖκές εἰσιν, ὧν αἱ μὲν ἐπὶ μύλαις σῖτον ἀλετρεύουσιν, αἱ δὲ ἱστοὺς ὑφαίνουσι καὶ ἔρια νήθουσιν[1])· ἐν δὲ τῇ Ὀδυσσέως δώδεκα μὲν διαρρήδην ἀλεῖν λέγονται ἄλφιτα καὶ ἀλείατα παρασκευάζουσαι[2]), πλείους δέ εἰσιν αἱ ἐν αὐτῇ ἐργαζόμεναι. Τῶν γὰρ πεντήκοντα γυναικῶν δώδεκα μόναι, αἱ νεώτεραι, ἐν τῇ γυναικωνίτιδι διέτριβον, αἵ ἀναιδείης ἐπιβᾶσαι νυκτὸς ἐξήρχοντο καὶ λάθρα τοῖς μνηστῆρσιν ἐμίγνυντο, δι' ὅπερ μετὰ τὸν φόνον αὐτῶν αἰσχίστῳ θανάτῳ κολάζονται[3]). Ὥστε πασῶν τούτων τῶν γυναικῶν, ἀκριβῶς εἰπεῖν, ὀκτὼ καὶ τριάκοντα ἐν τῇ αὐλῇ εἰργάζοντο. Τοσούτου οὖν πλήθους δμωῶν γυναικῶν ἐν τῇ αὐλῇ ὑπάρχοντος, εἰκὸς καὶ τοὺς θαλάμους αὐτοὺς πολλοὺς εἶναι. Τοιγαροῦν ἔμοιγε δοκεῖ πρὸς τοῖς ὑπὸ τῇ αἰθούσῃ τῆς αὐλῆς καὶ ἑτέρους πρὸς ἀμφοτέροις τοῖς πλαγίοις τοίχοις ὑπάρχειν, ἐν οἷς τὰ εἰρημένα τῶν ἔργων ἔπραττον, τῶν ὑπὸ τῇ αἰθούσῃ τοῦ δόμου θαλάμων εἰς ὑποδοχὴν τῶν ξένων τεταγμένων. Οὐ μόνον δ' ἐκ τοῦ πλήθους τῶν γυναικῶν, ἀλλὰ καὶ ἐκ τῆς ἐν τῇ Ὀδυσσέως αὐλῇ χώρας τοῦ μυλῶνος περὶ τῶν θαλάμων τῶν πλαγίων τοίχων τεκμαίρομαι. Ἀναστὰς γὰρ Ὀδυσσεὺς ἐκ τοῦ προδόμου καὶ μικρὸν ἐξ αὐτοῦ εἰς τὴν αὐλὴν προελθὼν ηὔξατο τῷ Διί· μετὰ δὲ τοῦτο βροντήσαντος τοῦ Διὸς χαίρων ἀκούει ἐκ τοῦ θαλάμου καὶ τῆς ἀλετρίδος γυναικὸς δεινὰς τοῖς μνηστῆρσιν ἐπαρωμενης ἀράς[4]). Ἐγγὺς ἄρα αὐτῷ ἡ ἀλετρὶς γυνὴ ἐτύγχανεν οὖσα. Εἰκὸς οὖν καὶ τὸν μυλῶνα μήτε πρὸς τῷ τοίχῳ τῆς αὐλείου θύρας κεῖσθαι διὰ τὴν ἀπόστασιν μήτε πρὸς τῷ τοῦ οἴκου διὰ τὸν θόρυβον, ὃν ἐν τῷ ἀλεῖν αἱ μύλαι ποιοῦσιν, ἀλλὰ πρὸς τῷ ἑτέρῳ τῶν πλαγίων τοίχων. Ἔνιοι δὲ τῶν ἑρμηνευτῶν οὐκ ὀρθῶς ποιοῦσι πάντα τὰ ἔπη ἀθετοῦντες, ἐν οἷς Ὅμηρος περὶ τῶν πεντήκοντα δμωῶν γυναικῶν τῶν ἐν τῇ αὐλῇ τῶν Ἀλκίνου ἀνακτόρων εἴρηκεν, οὐ συνιδόντες, ὅτι οὐ μόνον ἐν τῇ γυναικωνίτιδι, ἀλλὰ καὶ ἐν τοῖς θαλάμοις τῆς αὐλῆς αἱ γυναῖκες

---

1) Ὀδ. Η. 103—6. 2) Ὀδ. Υ. 105—10. 3) Ὀδ. Χ. 421—25. Υ. 6—8. Χ. 440—5. 458—73. 4) Ὀδ. Υ. 105—20.

εἰργάζοντο, ἃς ὁ Ὀδυσσεὺς πρὸ τῆς αὐλείου θύρας ἱστάμενος ῥαδίως θεάσασθαι ἠδύνατο[1]). Ἐκ τῶν εἰρημένων τοίνυν ἀσφαλῶς ἄν τις, οἶμαι, τεκμήραιτο, ὅτι εἰ μὴ ἐν πάσαις ταῖς αὐλαῖς, ἀλλά γε ἐν ταῖς τῶν μειζόνων ἀνακτόρων, οἷα τὰ Πριάμου καὶ Ἀλκίνου καὶ Ὀδυσσέως, ἐν οἷς καὶ τὰ Μενελάου καὶ Νέστορος εἰκότως ἄν τις καταριθμήσαιτο, οὐ μόνον πρὸς τοῖς τοίχοις τῆς αὐλείου θύρας καὶ τοῦ οἴκου, ἀλλὰ καὶ πρὸς τοῖς πλαγίοις αὐτοῖς αἴθουσαι ὑπῆρχον. Πάντας γὰρ οἶμαι τοῦτο γιγνώσκειν, ὅτι αἱ αἴθουσαι πρὸς τοῖς τοίχοις τῆς αὐλῆς ἦσαν ᾠκοδομημέναι, ἵνα θέρους μὲν σκιὰν τοῖς ὑποκειμένοις οἰκήμασι παρέχοιεν, τοῦ δὲ χειμῶνος, ὕοντος τοῦ θεοῦ, τὰς εἰσόδους ἀπὸ τοῦ ὕδατος σκέποιεν καὶ ῥαδίως αὐτὰ ἀλλήλοις κοινωνεῖν ποιοῖεν. Εἴπερ οὖν αἱ αἴθουσαι τοιαῦτα ἀλεξητήρια ἦσαν, πῶς οὐ χρὴ νομίζειν καὶ πρὸς τοῖς πλαγίοις τῶν τοίχων, οἳ τοσούτους θαλάμους εἶχον, αἰθούσας ᾠκοδομῆσθαι; Καὶ μὴν ἡ αὐτὴ ἀπὸ τῶν ὡρῶν ἀνάγκη ἐποίει μὴ μόνον τοὺς ἐπὶ Ὁμήρου ἀνθρώπους, ἀλλὰ καὶ τοὺς πολλῷ ὕστερον γενομένους τοιαῦτα πρὸς τὸ ἀμῦναι ὄμβρους καὶ καύματα πρὸ τῶν οἰκημάτων μηχανᾶσθαι, ὥστε τὴν ἐν αὐτοῖς δίαιταν μὴ πάνυ χαλεπὴν εἶναι. Ἐξ ὧν γὰρ Βιτρούβιος ὁ ἀρχιτέκτων περὶ τῶν μετὰ ταῦτα οἰκιῶν εἴρηκεν, εὖ ἴσμεν, ὅτι ἐν ταῖς αὐλαῖς τρεῖς αἴθουσαι ὑπῆρχον, ὧν μία μὲν πρὸς τῷ τοίχῳ τῆς αὐλείου θύρας, αἱ δὲ δύο ἄλλαι πρὸς ἑκατέρῳ τῶν πλαγίων τοίχων. Πρὸς δὲ τῷ τοίχῳ τοῦ οἴκου αἴθουσα οὐκ ἦν, διότι καὶ οἰκήματα εἰς τὴν αὐλὴν βλέποντα ἐνταῦθα οὐχ ὑπῆρχε, τοῦ τε θαλάμου καὶ ἀμφιθαλάμου καλουμένου ἐντὸς τῆς παστάδος κειμένων καὶ οὐδεμιᾶς αἰθούσης διὰ τοῦτο δεομένων[2]). Οὐ μὴν ἀλλὰ καὶ οἱ νῦν ἔτι τὰς χώρας ἐκείνας οἰκοῦντες οὐ μόνον τὰς τῶν οἰκιῶν αὐλὰς καὶ τοὺς τῶν ναῶν περιβόλους παραπλησίαις πρὸς τὸ ἔνδον στοαῖς οἰκοδομεῖν εἰώθασιν, ἀλλὰ καὶ ὁδοὺς ὅλας κατὰ τὴν ἀγορὰν ἄνωθεν καταστεγάζουσι. Καὶ τῶν μὲν πόλεων, ἐν αἷς τὸν τρόπον τοῦτον τὰς τῶν οἰκιῶν αὐλὰς καὶ νῦν ἔτι οἰκοδομοῦσι τῆς πάλαι ποτὲ καλλίστης τῶν Ἰωνικῶν πόλεων Σμύρνης μέμνημαι· τῶν δὲ ἀρχαίων χριστιανικῶν ναῶν ἀπόχρη

---

1) Ὅρα Ameis [Hentze], Fäsi [Kayser] καὶ Düntzer ἐν Ὀδ. Η. 103 καὶ ἑξῆς. 2) De archit. 6, 10, ἢ σελ. 149 ed. Rose et Müller-Strübing. πρβ. καὶ Guhl u. Kohner, das Leben der Gr. u. R., σελ. 89.

μοι μνημονεῦσαι τοῦ ἐν Πάρῳ τῆς Θεοτόκου, οὗ ὁ περίβολος μέγιστος ὢν καὶ τῇ τοῦ δόμου στοᾷ σμικρὸν μόνον διαφέρων τἄλλα πάντα ὁμοιότατος τῇ αὐλῇ τῶν Πριάμου ἀνακτόρων ἐστίν. Ἀλλὰ καὶ τῆς γυναικωνίτιδος αὐτοῦ ἐνταῦθα ἄξιον μνησθῆναι. Ἐν μὲν γὰρ τοῖς μικροτέροις τὸ μέγεθος καὶ τοῖς χρόνοις νεωτέροις ναοῖς κάτω καὶ πρὸ τῆς ἀνδρωνίτιδος ἐν τῷ προνάῳ καλουμένῳ ἢ νάρθηκι (Narthex) *ἡ γυναικωνῖτις οἰκοδομεῖται, ἣ μόνοις δρυφάκτοις πολλάκις κεχώρισται· ἐν δὲ τῷ Παρίῳ ναῷ ὥσπερ ἐν ἅπασι τοῖς ἀρχαιοτάτοις*[1], *ἄνω ἐπὶ τῆς τοῦ προνάου στέγης κεῖται. Οὐ μόνον δὲ αὐτὴ ἔξωθεν διὰ κλίμακος τῇ αὐλῇ κοινωνεῖ, ἀλλὰ καὶ αἱ φωταγωγοὶ αὐτῆς, μικραὶ θυρίδες οὖσαι, εἰς τὴν αὐλὴν αὖ βλέπουσιν. Τῶν δ' ἐπιχωρίων, εἰ δεῖ με σμικρόν τι καὶ ἱστορίας ἅψασθαι, οἱ μνήμῃ παρὰ τῶν πρότερον τὰ τῆς νήσου παρειληφότες λέγουσιν Ἑλένην τὴν Κωνσταντίνου τοῦ μεγάλου μητέρα προσσχοῦσάν ποτε ὑπὸ χειμῶνος τῇ νήσῳ τὸν ναὸν τοῦτον οἰκοδομήσασθαι*[2]. *Καὶ ταῦτα μὲν περὶ τῆς αὐλῆς ἀποχρόντως εἰρῆσθαί μοι δοκεῖ.*

Ἀνδρωνῖτις.

Ὥρα δὲ νῦν τὴν αὐλὴν καταλιπόντας εἴσω προϊέναι. Ἀλλ' ἄμεινον δοκεῖ πρίν γε ἔτι ἔνδον χωρῆσαί τινα τῶν τὴν οἰκίαν ἀκριβῶς ἐπισταμένων κατὰ τὴν εἴσοδον ἑαυτῶν προστήσασθαι. Οὐκοῦν ἡγείσθω ἡμῖν Τηλέμαχος, ὃς Ἀθηνᾶν ἐπὶ τοῦ αὐλείου οὐδοῦ ἑστῶσαν ἰδὼν εὐθέως ἔρχεται πρὸς αὐτὴν ἐκ τῆς αὐλῆς, ἐν ᾗ μετὰ τῶν μνηστήρων διατρίβων ἐτύγχανε, καὶ δεξιωσάμενος, ὥσπερ ἔθος ἦν, ἄγει διὰ τῆς αὐλῆς εἰς τὸν εὐθὺς κείμενον πρῶτον καὶ μέγιστον τῶν τοῦ οἴκου θαλάμων, ἐν ᾧ καὶ τράπεζα αὐτῇ παρατίθεται. Ἔπειτα δὲ μικρὸν μετ' αὐτοὺς καὶ οἱ μνηστῆρες ἐκ τῆς αὐλῆς εἰσελθόντες καθίζονται καὶ συνεστιῶνται[3]. *Τούτοις δὲ παραπλήσια καὶ ἐν τῷ Μενελάου ἀνακτόρῳ γίγνεται· κἀνταῦθα γὰρ Τηλέμαχος καὶ Πεισίστρατος ὑπὸ τῶν θεραπόντων εἰσάγονται ἐκ τῆς αὐλῆς εἰς τοιοῦτον θάλαμον, ἐν ᾧ μετὰ τὸ λουτρὸν δειπνοῦσιν*[4]. *Οὐ μὴν ἀλλὰ καὶ Ὀδυσσεὺς εἰς τὸν Ἀλκίνου οἶκον ἐκ τῆς αὐλῆς εἰσελθὼν ἐν τοιούτῳ θα-*

---

1) *Ὅρα* Christl.-griech. oder byzantinische Kunst von Prof. F. W. Unger *ἐν τῷ* Griechenland *τομ.* 5, *σελ.* 400. [Sep.-Ausg. aus der allg. Encyklop. d. Wissensch. u. Künste von Ersch u. Gruber. Leipzig 1870. 2) *Ὅρα ἐπιμέτρου σημ. β'.* 3) *Ὀδ. Α.* 113 *καὶ ἑξῆς.* 4) *Ὀδ. Δ.* 43 *κ. ἑξῆς.*

λάμπῳ καταλαμβάνει περὶ τὸ τέλος τοῦ δείπνου τοὺς τῶν Φαιάκων ἡγήτορας καὶ μέδοντας[1]). Οὗτος τοίνυν ὁ θάλαμος, ὃς εὐθὺς μετὰ τὴν αὐλὴν κεῖται, καὶ ἐν ᾧ αἱ ἑστιάσεις καὶ τὰ συμπόσια γίγνονται, ἐστὶν ἡ ἀνδρωνῖτις μὲν ὑπὸ τῶν ὕστερον καλουμένη[2]), μέγαρον δὲ ὑπὸ Ὁμήρου, ὃ τὸν μέγαν θάλαμον ἰδίᾳ σημαίνει[3]). Καὶ μὴν εἰσιοῦσιν ἐκ τῆς αὐλῆς εἰς τὴν ἀνδρωνῖτιν οὐδεμία ἀνάβασις ἦν, ὡς παντὸς τοῦ οἴκου ἐν τῷ αὐτῷ ἰσοπέδῳ βεβηκότος. Δῆλον δὲ τοῦτο γίγνεται ἐξ ὧν Ὅμηρος περὶ Ὀδυσσέως εἴρηκε· καταβαλὼν γὰρ τὸν ἐπαίτην Ἶρον καὶ λαβὼν αὐτὸν τοῦ ποδὸς ἕλκει ἀπὸ τοῦ προθύρου τῆς ἀνδρωνίτιδος, ἔνθα ἡ πάλη ἐγένετο, μέχρι τοῦ τῆς αὐλείου θύρας, ὅπου αὐτὸν ἵστησιν[4]). Εἴπερ οὖν τὸ τῆς ἀνδρωνίτιδος πρόθυρον ὑψηλότερον τοῦ τῆς αὐλῆς ἐδάφους ἔκειτο καὶ διὰ τοῦτο ἀναβαθμῶν τινων πρὸς ἀνάβασιν ἐδεῖτο, οὐκ ἄν, οἶμαι, ὁ Ὀδυσσεὺς τοῦ ποδὸς λαβὼν αὐτὸν εἷλκεν, ἀλλὰ πρῶτον ἐπὶ τῶν ὤμων ἀράμενος καὶ ὑποκαταβὰς εἰς τὴν αὐλήν, εἶτα δὲ καταβαλὼν αὐτὸν οὕτως εἷλκεν. Ὁ δὲ οὐδὸς τῆς θύρας τῆς ἀνδρωνίτιδος τοσοῦτον ἀπὸ τοῦ ἰσοπέδου ὑψοῦτο, ὥστε ῥᾳδίως τις ἐπ' αὐτοῦ ὥσπερ ἐπὶ ταπεινῆς τινος ἕδρας καθίζεσθαι ἠδύνατο[5]). Τοιγαροῦν μὴ μόνον κατὰ τὴν τῆς ἀνδρωνίτιδος, ἀλλὰ καὶ κατὰ τὴν εἴσοδον τῶν ἄλλων θαλάμων ἔδει τοὺς εἰσιόντας τῷ μὲν ἑτέρῳ ποδὶ τὸν οὐδὸν πατήσαντας, τὸν δὲ ἕτερον εἴσω εἰς τὸ ὑποκείμενον ἔδαφος τοῦ ἔνδον προθύρου καθέντας οὕτως εἰσελθεῖν, ὃ κατ' οὐδοῦ βαίνειν λέγεται[6]), ἢ πρὶν ἔτι εἰσελθεῖν τοῖν σκελοῖν διαβεβηκότας ἄνωθεν αὐτὸν διελθεῖν, ὃ οὐδὸν ὑπερβαίνειν καλεῖται[7]). Καὶ οὕτω μὲν δὴ εἴσω ἰτέον. Τὸ δὲ τῆς ἀνδρωνίτιδος ἔδαφος ἦν μὲν λίστρῳ ὠμαλισμένον καὶ κυλίνδρῳ πεπυκνωμένον, ὅθεν περ κραταίπεδον ὑπὸ τοῦ ποιητοῦ ἐπονομάζεται[8])· ἀλλ' ὅμως διὰ τὸ πολλοὺς εἰς αὐτὸ φοιτᾶν καὶ πολὺν χρόνον διατρίβειν κεκονιμένον ἦν[9]), καὶ διὰ τοῦτο ὑπὸ τῶν θεραπαινίδων πρῷ ἀνισταμένων πρῶτον μὲν κρωσσῷ κατερραίνετο, ἵνα μὴ τὰ ἔπιπλα πάντα κόνεως

---

1) Ὀδ. Η. 135 κ. ἑξῆς. 2) Ξενοφ. ἐν Συμπ. 1, 13. ὅρα Vitruv. VI, X. Ἀθην. 5, 193, c. 3) Κουρτ. ἐτυμ. σελ. 329. Buttm. Lexil. 1, σελ. 244. πρβ. Ὀδ. Α. 365. Ζ. 304. Λ. 334. Π. 284. Ρ. 325 κλ. 4) Ὀδ. Σ. 100—4. 5) Ὀδ. Ρ. 339. 6) Ὀδ. Δ. 680. πρβ. καὶ Β. 337 καὶ Düntzer αὐτόθι καὶ Κ. 432. 7) Ὀδ. Ψ. 88. πρβ. καὶ Π. 41. 8) Ὀδ. Ψ. 46. Εὐσταθ. ἐν Ὀδ. Ψ. σελ. 1938. 9) Ὀδ. Η. 160. Λ. 191. Χ. 329. 383.

πλήρη γίγνοιτο, εἶτα δὲ καλλύντρῳ ἐκορεῖτο[1]). Οὐκ ὀρθῶς δὲ Ἡσύχιος ἐν τῷ λεξικῷ τὸ κραταίπεδον τῷ λιθοστρώτῳ ἐξηγήσατο. Εἰ γὰρ τοὔδαφος λίθοις ἦν κατεσκευασμένον, οὐκ ἂν τάφρον ἐν αὐτῷ ὁ Τηλέμαχος ὤρυσσεν, ἵνα τοὺς πελέκεις στήσειεν[2]), οὐδ' ἂν ὕστερον αὐτὸς αὖθις καὶ ὁ βουκόλος καὶ ὁ συβώτης μετὰ τὸν φόνον τῶν μνηστήρων λίστροις ἔξεον, τοῦ λύθρου ἀποκαθαίροντες[3]).

Ἐσχάρα.

Κατὰ δὲ τὴν τοῦ θαλάμου τούτου χρείαν εἰκὸς ἐνταῦθα τὴν ἑστίαν ὑπάρχειν. Καίτοι δ' Ὅμηρος τοὔνομα ἱστίη οἶδεν, ὅμως οὐδαμοῦ τῶν ποιημάτων ἰδίᾳ ἐπὶ τῆς ἐν τῇ ἀνδρωνίτιδι ἑστίας τέταχε, ἀλλ' ἀεὶ αὐτὸ ἐπὶ τοῦ οἴκου καθόλου τίθησιν, ὁπόταν μάλιστα δέῃ ποιῆσαί τινα ὀμνύντα τόνδε τὸν ὅρκον

ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα
ἱστίη τε . . . . . . ἣν ἀφικάνω[4]).

Τήν γε μὴν ἐν τῇ ἀνδρωνίτιδι ἑστίαν καλεῖ ἐσχάρην, ἢ πρόσγειός τις βόθρος καὶ περιφερὴς ἦν ἐπὶ τοῦ ἐδάφους[5]). Ἐπὶ δ' οὖν τῇ ἐσχάρᾳ οὐ μόνον τὰ κρέα ὤπτων, ἃ οἱ ἐν τῇ ἀνδρωνίτιδι εὐωχούμενοι ἤσθιον[6]), ἀλλὰ καὶ τραπέζας καὶ ἕδρας παρ' αὐτῇ τιθέντες ἐκαθίζοντο θερμαινόμενοί τε ἅμα καὶ ἐκ τῆς αὐγῆς τοῦ καιομένου πυρὸς φῶς ἔχοντες. Εἰώθεσαν δὲ μάλιστα τοῦτο ποιεῖν οἱ τοῦ οἴκου δεσπόται εἴτε συνδειπνοῦντες εἴτε τοῖς οἰκείοις τε καὶ φίλοις διαλεγόμενοι[7]). Ἔκειτο δὲ ἡ ἐσχάρα κατὰ τὸ ἔνδον τῆς ἀνδρωνίτιδος πρὸ τῆς θύρας, ἢ τῇ τε ἀνδρωνίτιδι καὶ τῇ εὐθὺς μετ' αὐτὴν κειμένῃ γυναικωνίτιδι κοινὴ ἦν. Δῆλον δὲ τοῦτο γίγνεται ἐκ τῶνδε. Ἡ γὰρ Ναυσικᾶ Ὀδυσσεῖ ὑποτιθεμένη φησὶν αὐτὸν χρῆναι, ἐπειδὰν εἰς τὴν τοῦ πατρὸς οἰκίαν ἀφίκηται, καταλιπόντα ὡς τάχιστα τὴν αὐλὴν καὶ εἰς τὴν ἀνδρωνῖτιν εἰσελθόντα εὐθὺ χωρῆσαι, ἕς τ' ἂν πρὸς τὴν μητέρα Ἀρήτην ἵκηται· τὴν δὲ παρὰ τῇ ἐσχάρᾳ καθῆσθαι ἐργαζομένην καὶ ἐκ μὲν τοῦ ἐπὶ θάτερα παρακαθήμενον αὐτῇ

1) Ὀδ. Υ. 149—50. 2) Ὀδ. Φ. 120—2. 3) Ὀδ. Χ. 455. 4) Ὀδ. Ξ. 158—9. Ρ. 155—6. Τ. 303—4. Υ. 230—1. 5) Εὐσταθ. ἐν Ὀδ. Η. σελ. 1575. Bekkeri anecdot. Graec. τομ. 1, σελ. 256. Ἀμμωνίου περὶ ὁμοίων κ. διαφ. λεξ. σελ. 34, κ. Animadv. 36 ed. Valckenaer. 6) Ὀδ. Υ. 123. 161. 250. Ξ. 419—20. 7) Ὀδ. Ζ. 305. πρβ. Η. 138 κ. ἑξῆς. Τ. 57, 97—105. Ἰλ. Ι. 205—224. Ω. 471—6.

ἐπὶ θρόνου τὸν Ἀλκίνουν ἔχουσαν, ὄπισθεν δὲ τὰς ἐν τῇ γυναικωνίτιδι ἐργαζομένας δμωάς[1]). Ἡ μὲν οὖν Ἀρήτη ἔχουσα ὄπισθεν αὐτῆς τὰς ἐν τῇ γυναικωνίτιδι δμωὰς ἐν τῇ μεταξὺ μὲν τῆς θύρας καὶ τῆς ἐσχάρας χώρᾳ ἐκάθητο, μικρὸν ὅμως τῆς θύρας περαιτέρω παρὰ τῷ κοινῷ τοίχῳ, προκειμένης, μᾶλλον δὲ παρακειμένης, ὡς τὸ εἰκὸς, αὐτῇ τῆς ἐσχάρας· ἑτέρωθεν δὲ παρ' αὐτῇ ὁ Ἀλκίνους, παρ' αὐτῷ δὲ καὶ μετ' αὐτὸν ὁ υἱὸς Λαοδάμας καὶ ἐναντίον ἴσως τούτων οἱ τῶν Φαιάκων ἡγήτορες καὶ μέδοντες, ὅσοι παρόντες ἐτύγχανον. Χωρήσας οὖν Ὀδυσσεὺς εἰς τὸ μέσον κατὰ τὴν Ναυσικᾶς ὑφήγησιν καὶ Ἀλκίνουν παραμειψάμενος προσπίπτει τῇ Ἀρήτῃ ἱκέτης ἐπ' ἐσχάρῃ ἐν κονίῃσι πὰρ πυρί[2]).

Μέγεθος τῆς ἀνδρωνίτιδος.

Καὶ ταῦτα μὲν περὶ τῆς ἑστίας· νῦν δὲ περὶ τοῦ μεγέθους καὶ τῆς ἔνδον κατασκευῆς καὶ διαθέσεως τῆς ἀνδρωνίτιδος ῥητέον. Ἡλίκη τοίνυν αὐτὴ ἦν, ῥᾴδιον μαθεῖν οὐ μόνον ἐκ τοῦ πλήθους τῶν συνιόντων, ἀλλὰ καὶ ὅτῳ δὴ τρόπῳ οἱ ἑστιώμενοι παρὰ ταῖς τραπέζαις ἐκαθίζοντο. Καὶ περὶ μὲν τῆς Μενελάου ἀνδρωνίτιδος ἑστιῶντος τὸν τοῦ υἱέος καὶ τῆς θυγατρὸς γάμον τοῦτο μόνον λέγεται, ὅτι πολλοὶ γείτονες ἠδὲ ἔται δαίνυντο καθ' ὑψερεφὲς μέγα δῶμα[3]). Εἰς δὲ τὴν Ἀλκίνου συνιόντες οἱ τῶν Φαιάκων ἡγήτορες καὶ μέδοντες εὐωχοῦνται ἐπὶ θρόνων καθήμενοι, οἳ ἑκατέρῳ τῶν πλαγίων τοίχων κατὰ μῆκος τῆς ἀνδρωνίτιδος προσερείδονται[4]). Ἀλλ' εἴγε οὗτοι οἱ ἡγήτορες καὶ μέδοντες τοῖς ἀριπρεπέσι βασιλεῦσιν, οἳ κατὰ δῆμον κραίνουσιν, οἱ αὐτοί εἰσιν, οὐ πολλοὶ φαίνονται οἱ ἐπὶ τὸ δεῖπνον συνιόντες. Δώδεκα γὰρ οἱ πάντες εἰσί, τρισκαιδέκατος δ' αὐτὸς ὁ Ἀλκίνους[5]). Τούτοις δὲ καὶ τοὺς ἄλλους τοῦ οἴκου ἄνακτας προστιθέναι δεῖ, λέγω δὲ τὴν Ἀρήτην, τὴν Ναυσικᾶν καὶ τὸν Λαοδάμαντα. Οἱ δὲ δύο καὶ πεντήκοντα νεανίαι, οἳ Ὀδυσσέα εἰς τὴν πατρίδα περαιώσειν ἔμελλον, ἐπανελθόντες μετὰ τὴν τῆς νεὼς παρασκευὴν εἰς τὸ Ἀλκίνου ἀνάκτορον οὐ τοῖς ἀρίστοις ἐν τῇ ἀνδρωνίτιδι συνεστιῶνται, ἀλλ' ὑπὸ ταῖς αἰθούσαις ἐν τῇ αὐλῇ καὶ τοῖς ἄλλοις οἰκήμασιν[6]). Εἰς

1)) Ὀδ. Ζ. 303—9. Nitzsch, Anm. z. Hom. Ὀδ. 2, σελ. 129. 2) Ὀδ. Η. 154—5. 3) Ὀδ. Δ. 15—6. 4) Ὀδ. Η. 95—99. Nitzsch Anm. 2, σελ. 145. 5) Ὀδ. Θ. 385—91. 6) Ὀδ. Θ. 46—61.

δὲ τὴν Πριάμου ἀνδρωνῖτιν, εἴπερ οἱ υἱεῖς τε μετα τῶν γυναικῶν καὶ αἱ θυγατέρες μετὰ τῶν ἀνδρῶν ἐν ταὐτῷ τοῖς γονεῦσι συνειστιῶντο, εἰκὸς ὀλίγῳ πλείους τῶν εἴκοσι καὶ ἑκατὸν τοὺς πάντας συνέρχεσθαι· τοσοῦτοι γὰρ τὸ πλῆθος ἅπαντες ἦσαν[1]). Οὐ μὴν ἐλάττους γε τούτων καὶ οἱ ἐν τῇ Ὀδυσσέως ἀνδρωνίτιδι εὐωχούμενοι. Πλὴν γὰρ τοῦ Τηλεμάχου καί τινων οἰκετῶν ὀκτὼ καὶ ἑκατὸν μνηστῆρες τὸ πλῆθος καθ᾽ ἑκάστην ἡμέραν συνῄεσαν ὀκτὼ θεράποντας μεθ᾽ ἑαυτῶν ἔχοντες καὶ σὺν αὐτοῖς τόν τε κήρυκα Μέδοντα καὶ τὸν ἀοιδὸν Φήμιον[2]). Καὶ ταῦτα μὲν περὶ τοῦ πλήθους τῶν ἐν τῇ ἀνδρωνίτιδι διατριβόντων· νῦν δὲ βραχέα ἔτι περὶ τοῦ τρόπου τοῦ καθίζεσθαι ἐν ταῖς ἑστιάσεσι καθόλου προειπὼν τὴν τῶν ἑδρῶν τῶν μνηστήρων διάθεσιν ἐν τῇ Ὀδυσσέως ἀνδρωνίτιδι εὑρεῖν πειράσομαι. Ταύτην γὰρ γνόντες ἴσως ἂν μέτρον τινὸς τυχεῖν δυνηθείημεν, ᾧ ῥᾳδίως τὸ μέγεθος αὐτῆς ἐννοήσομεν. Βουλόμενοι δὲ καὶ οἱ παλαιοὶ τὸ τῶν οἰκημάτων μέγεθος δηλοῦν, παραπλησίῳ μέτρῳ χρῆσθαι εἰώθεσαν. Τὴν γοῦν χώραν, ὅσην περ ἕκαστος κατακείμενος κατεῖχε, κλίνην ἐκάλουν[3]) καὶ τῷ ἀριθμῷ τῶν τοιούτων κλινῶν μέτρῳ τοῦ μεγέθους τῶν οἰκημάτων ἐχρῶντο, ἐπεί τοι ἐσθίοντες οὐκ ἐκάθηντο, ὥσπερ οἱ Ὁμήρου ἥρωες, ἀλλὰ κατεκλίνοντο. Τοιγαροῦν ὅτε Ξενοφῶν ἐν τῷ οἰκονομικῷ[4]) δεκάκλινον στέγην εἴρηκε καὶ ὁ Πολυδεύκης ἐν τῷ ὀνομαστικῷ τάδε φησίν[5]) „οἶκος τρίκλινος, πεντάκλινος ἢ δεκάκλινος καὶ ἁπλῶς πρὸς τὸ τοῦ μεγέθους μέτρον ὁ τῶν κλινῶν ἀριθμός“[6]). Καθήμενοι τοίνυν οἱ μνηστῆρες εὐωχοῦνται ἐπὶ θρόνων ἑξείης[7])· δηλοῖ δὲ τοῦτο τὸ ἄλλον ἐπ᾽ ἄλλῳ κατὰ στοῖχον καθῆσθαι, ὃ πανταχοῦ ἐν τῷ τοιούτῳ ἔθος ἦν γίγνεσθαι[8]). Προὔκειτο δὲ ἑκάστῳ τῶν δαιτυμόνων μικρὰ τράπεζα[9]). Πολλάκις μέντοι ἀπὸ τῆς αὐτῆς τραπέζης καὶ δύο παρακαθήμενοι συνεσθίουσι καθάπερ δὴ παρὰ Μενελάῳ Τηλέμαχος καὶ Πεισίστρατος ποιοῦσι[10])· καὶ αὐτὸς πάλιν ὁ Τηλέμαχος καὶ ὁ Μέντης ἐν τῷ Ὀδυσσέως μεγάρῳ[11]). Γίγνεται δὲ τοῦτο, ὅταν δύο μόνοι χωρὶς τῶν ἄλλων συνεσθίωσιν· ὁπότε δ᾽ ἅμα πάντες ἀριστῷεν ἢ δειπνοῖεν, σύνδυο μὲν αὖθις

---

1) Ἰλ. Ζ. 243—50. πρβ. κ. Ω. 495—7. 2) Ὀδ. Π. 245—52. 3) Πολυδ. ὀνομ. 6, 9. 4) 8, 13. 5) 1, 79. 6) πρβ. ὁμοίως Πολυδ. ἐν ὀνομ. 6, 7. ὅρα καὶ Ant. Winckler, die Häuser der Hellenen σ. 132. 7) Ὀδ. Α. 145. 8) Ὀδ. Γ. 389. Ι. 8. 9) Ὀδ. Κ. 354—5. 10) Ὀδ. Δ. 54. 11) Ὀδ. Α. 130 κ. ἑξῆς. Ἀθην. Ι. 11 f. Nitzsch Anm. 1, σελ. 27.

παρὰ τῇ αὐτῇ τραπέζῃ ἐκαθίζοντο, ἐναντίοι δὲ ἀλλήλων. Οὕτω δὴ Εὔμαιος λαβὼν τὸν τοῦ δαιτροῦ δίφρον ἐναντίον Τηλεμάχου καθίζεται καὶ Μελανθεὺς ἐναντίον Εὐρυμάχου [1]). Τὸν αὐτὸν δὲ τρόπον καὶ νῦν ἔτι ἐν ταῖς νήσοις τοῦ Αἰγαίου οἱ συνεστιώμενοι ἔν τε τοῖς γάμοις καὶ κατὰ τὸ περίδειπνον κάθηνται. Τῷ δὲ Ὀδυσσεῖ ἐπαίτῃ εἶναι δοκοῦντι Τηλέμαχος τὸν φόνον τῶν μνηστήρων συντεχνώμενος δίφρον ἀεικέλιον ὀλίγην τε τράπεζαν παρὰ λάϊνον οὐδὸν τίθησιν [2]). Ἀλλὰ ποῦ δὴ τῆς ἀνδρωνίτιδος οἱ μνηστῆρες ἑστιώμενοι ἐκάθηντο; Μὴ καὶ αὐτοί, ὥσπερ οἱ Φαίακες, ἐπὶ θρόνων ἑκατέρῳ τῶν πλαγίων τοίχων προσερειδομένων; Εἰ δὲ τοῦθ' οὕτως ἔχει, οὐ ῥᾴδιον νῦν τὸ τῆς ἀνδρωνίτιδος μῆκος εὑρεῖν τῷ ἀριθμῷ τῶν παρ' ἑκατέρῳ τῶν πλαγίων τοίχων ἱδρυμένων; Ὄντων γὰρ τῶν μνηστήρων εἴκοσι καὶ ἑκατόν, εἰκὸς ἑξήκοντα ἕδρας πρὸς ἑκατέρῳ τῶν τοίχων εἶναι, αἷςπερ ἂν τὸ μῆκος ἀσφαλῶς συμμετρησαίμεθα. Ὃς δ' ἂν οὕτω καὶ τοὺς μνηστῆρας ἐν τῇ Ὀδυσσέως ἀνδρωνίτιδι καθημένους θῇ, οὗτος τοῦ μὲν ἀληθοῦς μέτρου τεύξεται· δίχα γὰρ καὶ αὐτοὶ μεμερισμένοι κατὰ μῆκος παρὰ ταῖς τραπέζαις ἐκάθηντο· πάντως ὅμως ἁμαρτήσεται οἰηθεὶς ὥσπερ τοὺς Φαίακας παρὰ τοῖς πλαγίοις τοίχοις ἱδρῦσθαι. Ἐμοὶ γὰρ σκοποῦντι ἅπερ οἱ μνηστῆρες ἐποίησαν, ἐπεὶ πρῶτον Ὀδυσσεὺς Ἀντίνουν ἔβαλε, δοκεῖ οὐ παρὰ τοῖς πλαγίοις τοίχοις, ἀλλ' ἐν τῷ μέσῳ αὐτοὺς ἔνθεν καὶ ἔνθεν τῶν τραπεζῶν ἱδρῦσθαι

τοὶ δ' ὁμάδησαν
μνηστῆρες κατὰ δώμαθ', ὅπως ἴδον ἄνδρα πεσόντα,
ἐκ δὲ θρόνων ἀνόρουσαν ὀρινθέντες κατὰ δῶμα,
πάντοσε παπταίνοντες ἐυδμήτους ποτὶ τοίχους·
οὐδέ πῃ ἀσπὶς ἔην, οὐδ' ἄλκιμον ἔγχος ἑλέσθαι [3]).

Ταῦτα μὲν οὖν τὰ ἔπη τὴν ἐν τῷ μέσῳ τῶν μνηστήρων ἕδραν ὑποδηλοῖ [4]). Ὅτι δὲ οὐ κατὰ τὸ πλάτος, ἀλλὰ κατὰ τὸ μῆκος τῆς ἀνδρωνίτιδος αἱ τράπεζαι ἐτίθεντο, ἡ τοῦ τόξου βολὴ μηνύει. Οἱ γὰρ μνηστῆρες ἐν τῷ προκειμένῳ αὐτοῖς ἀγῶνι ἀποπειρώμενοι κατὰ τὴν θύραν, δι' ἧς ἐκ τῆς αὐλῆς εἰσήρχοντο, τείνειν τὸ τόξον καὶ βάλλειν εἰς τὸν σκοπόν, ὃς ἦν ἐνδοτάτω τῆς ἀνδρωνίτιδος τεθειμένος παρὰ τῷ ἀντικειμένῳ τοίχῳ τῇ

---

1) Ὀδ. Ρ. 330—4. πρβ. καὶ 256—7. 2) Ὀδ. Υ, 257—9. 3) Ὀδ. Χ. 21—5. 4) A. Hirt, Gesch. d. Bauk. § 11 σελ. 213.

θύρᾳ, ἔνθα οἱ μέλλοντες τῶν μνηστήρων βάλλειν ἵσταντο[1]), ἔβαλλον ἂν εἰκότως, εἴπερ τείνειν τὸ τόξον ἠδύναντο, οὐκ εὐθὺ ἐπὶ τὰς τραπέζας (κίνδυνος γὰρ ἂν ἦν τοῖς παρακαθημένοις), ἀλλὰ παρ' αὐτάς γε δήπου ταύτας. Αἱ τράπεζαι ἄρα μετὰ τῶν ἑδρῶν οὐ κατὰ τὸ πλάτος, ἀλλὰ κατὰ τὸ μῆκος καὶ παραλλήλως, ὡς εἰπεῖν, τῇ τοῦ βέλους φορᾷ τεθειμέναι ἦσαν. Τοιγαροῦν Ὀδυσσεὺς ἐντὸς παρὰ τῇ θύρᾳ καθήμενος, ἐπειδὴ αὐτὸς τὸ τόξον ἔτεινε, βάλλει αὐτόθεν εἰς τὸν ἐναντίον κείμενον σκοπόν[2]). Ἐκ τῶν εἰρημένων τοίνυν γίγνεται φανερὸν ὅτι, τῶν μνηστήρων ὄντων μὲν εἴκοσι καὶ ἑκατὸν τὸ πλῆθος, δίχα δὲ μεριζομένων, ἔνθεν δὲ καὶ ἔνθεν τῶν τραπεζῶν ἐν τῷ μέσῳ καὶ κατὰ τὸ μῆκος ἐπὶ θρόνων καθιζομένων, τὸ τῆς ἀνδρωνίτιδος μῆκός ἐστι καθάπερ εὐθεῖά τις συνεστῶσα ἐξ ἀνδρῶν, ὥσπερ σημείων, ἑξήκοντα. Ἐὰν δέ τις νῦν καὶ τὸν χῶρον προσθῇ, ὃς μεταξὺ τῶν δύο περάτων τῶν τραπεζῶν καὶ ἑκατέρου τῶν τοίχων τοῖς τε διακόνοις καὶ οἰνοχόοις ὑπολελειμμένος ἦν, πολλῷ μεῖζον τὸ ὅλον μῆκος εὑρήσει. Καὶ τοσοῦτον μὲν τὸ μῆκος· τὸ δὲ λοιπὸν τοῦ μεγέθους, τό τε πλάτος καὶ τὸ ὕψος λέγω, ἀκριβῶς γνῶναι οὐδεμία μηχανή ἐστιν, ἀλλ' ἐκ τοῦ μήκους ἄν τις περὶ αὐτῶν εἰκάζοι. Καίτοι τό γε πλάτος εὑρεῖν ἂν ἠδυνάμεθα, εἴπερ ἑνὸς τῶν ὑπὸ τῇ αἰθούσῃ τοῦ δόμου θαλάμων τὸ εὖρος ἠπιστάμεθα.

Διάθεσις τῆς ἀνδρωνίτιδος.

Καὶ μὴν τοῖς γε περὶ τοῦ μήκους εἰρημένοις τό τε μέγεθος καὶ τὴν κατασκευὴν τῆς στέγης ῥᾳδίως ἄν τις τεκμήραιτο. Τὰ γὰρ ὑπερμεγέθη τῶν οἰκοδομημάτων κατ' ἀνάγκην καί τὰς στέγας ὑπερμεγέθεις ἔχοντα εἰκὸς εἰς στερεότητα καὶ ἀσφάλειαν κατασκευάζεσθαι. Τούτου οὖν ἕνεκα προσφόρους πρὸς τὸ ἐρείδειν τὴν ὀροφὴν μηχανὰς ἀρχαιότατα οἱ ἄνθρωποι τῇ τέχνῃ ἐπορίσαντο. Οὐκοῦν μεγάλων στεγῶν ἐρείσματα μακραὶ δοκοὶ καὶ κίονες ὑψηλοί· τοῖς γὰρ καλουμένοις στερεοῖς τόξοις καὶ ἀψῖσιν ἢ ὅπως ἄλλως τις χαίρει αὐτὰ καλῶν ὀψὲ πάνυ καὶ μετὰ τοὺς χρόνους Ἀλεξάνδρου τοῦ Μακεδόνος οἱ Ἕλληνες οἰκοδομοῦντες ἐχρήσαντο[3]). Καὶ περὶ μὲν τῆς στέγης μετὰ ταῦτα ἐν

1) Ὀδ. Φ. 120—4. πρβ. 136—8, 149, 163—5. 2) Ὀδ. Φ. 420—3. 3) Guhl u. Kohner, Leben der Gr. u. R. σελ. 72.

τῷ οἰκείῳ τόπῳ ἀκριβῶς ἐρῶ· νῦν δὲ περὶ τῶν ἐρεισμάτων καὶ δὴ περὶ τῶν μεσοδμῶν πρῶτον εἰπεῖν πειράσομαι. Ἢν μὲν γὰρ τὰ τῶν μεσοδμῶν ὀρθῶς ἑρμηνεῦσαι δυνηθῶ, οὐ χαλεπὸν καὶ ἅπασαν τὴν ἔνδον τῆς ἀνδρωνίτιδος διάθεσιν καταμαθεῖν, οἷα τῷ ὄντι ἦν.

Μεσόδμαι.

Τῶν οὖν τῆς ἀνδρωνίτιδος μεσοδμῶν δὶς Ὅμηρος ἐν Ὀδυσσείᾳ μέμνηται[1]) συνάψας τοῖς τοίχοις καὶ ταῖς δοκοῖς καὶ τοῖς κίοσι καὶ καλὰς ἐπονομάσας. Καὶ ὅτι μὲν αἱ μεσόδμαι τῶν ἐρεισμάτων τί εἰσιν, ἐκ τῶν χωρίων τούτων δῆλον· ὁποῖαι δὲ καὶ ὅπου τῆς ἀνδρωνίτιδος ἦσαν, τοῦτο δὴ παντάπασιν ἀπεγνώκαμεν. Τοιγαροῦν πλατείας αὖθις κελεύθου ταῖς εἰκασίαις κἀνταῦθα ὑπαρχούσης πολλοὶ τῶν τὰ Ὁμήρου ἐξηγουμένων φιλοτιμότερον διετέθησαν τῇ τῶν ἐπινοιῶν ἀτοπίᾳ καὶ καινότητι ἀλλήλους ὑπερδραμεῖν. Ἔγωγε μέντοι τὰς γνώμας αὐτῶν ἐν τῷ ἐπιμέτρῳ ἐπιμελῶς καταγεγραφὼς[2]) οὐδέν τι πλέον ἐνταῦθα περιεργάσομαι, ἀλλ' ἑτέραν ὁδὸν τραπόμενος ἐξ αὐτῶν αὖθις τῶν ποιημάτων πόρον τινὰ εὑρεῖν ἐπιχειρήσω. Καὶ ἑτέρας μεσόδμης Ὅμηρος ἐν Ὀδυσσείᾳ μέμνηται, οἰκήματος μὲν οὔ, νεὼς δέ[3]). Ἔστι δὴ αὕτη ἡ μεσόδμη ἡ ἐν τοῖς μικροτέροις τῶν σκαφῶν δευτέρα τρόπις καλουμένη, ἣ ἔνδον οὖσα καὶ ἀπὸ τῆς πρῴρας εἰς τὴν πρύμναν μέσον τοὔδαφος ὥσπερ εὐθεῖα τέμνουσα ἐπὶ τῆς γωνιώδους τῶν σταμίνων συναρμογῆς προσηλοῦται. Αἱ δὲ σταμῖνες ἀρχόμεναι κάτωθεν ἀπὸ τῶν δρυόχων καλουμένων τῶν ἐπὶ τῆς τρόπιδος ὑπαρχόντων καὶ ἀνέχουσαι ἑκατέρωθεν τῆς δευτέρας τρόπιδος τῆς ἐντὸς αὐτῶν κατὰ μῆκος κειμένης ποιοῦσι τὸ κοῖτος ἢ τὴν γάστραν τῆς νεὼς καθάπερ ἐν τοῖς τῶν ζώων σκελετοῖς αἱ ἑκατέρωθεν προσπεφυκυῖαι τοῖς σφονδύλοις πλευραὶ τὸν καλούμενον ὅλμον. Καὶ τοιαύτη μὲν ἡ τῆς νεὼς μεσόδμη· ἐν δὲ τῷ προσθίῳ αὐτῆς μέρει, τῷ κατὰ τὴν πρῷραν, ἐστὶ κοίλωμά τι, ληνὸς καλούμενον, ἐν ᾧ τὸν ἱστὸν τῶν μικροτέρων σκαφῶν ἱστάντες τὴν πτέρναν αὐτοῦ ἐναρμόζουσι, διὸ κοίλη ὑπὸ τοῦ ποιητοῦ ἐπονομάζεται. Ἐντεῦθεν δὴ τὴν τῆς νεὼς μεσόδμην ἀσφαλῶς γιγνώσκομεν. Αὐτὰ γὰρ δὴ ταῦτα ἐν τοῖς ὁμηρικοῖς χωρίοις περὶ τῆς μεσόδμης λέγεται. Πάρεστι δὲ καὶ νῦν ἔτι τὸν αὐτὸν

1) Ὀδ. Τ. 37—8. Υ. 354. 2) ὅρα ἐπιμ. σημ. γ'. 3) Ὀδ. Β. 424. Ο. 289.

τρόπον ἰδεῖν γιγνόμενα[1]). Λοιπὸν δὲ νῦν μοί ἐστιν ἀποδεικνύναι, ὡς ἡ τῆς νεὼς μεσόδμη τῇ τῶν οἰκημάτων ἀκριβῶς ἀντιστοιχεῖ. Εἴπερ οὖν ἀντὶ τῆς στέγης ἄνω ὑπὲρ τὴν κεφαλὴν τὸ τῆς νεὼς σκάφος ἀνεστραμμένον νοῆσαι βουληθείημεν, ὥστε τὸ μὲν κυρτὸν αὐτοῦ πρὸς τὸν οὐρανόν, τὸ δὲ κοῖλον κάτω πρὸς τὸ ὑπὸ τοὺς πόδας ἔδαφος βλέπειν, εὐθέως ἂν ἴδοιμεν εἰς ταύτην τὴν ὀροφὴν ἀναβλέψαντες τὴν μὲν μεσόδμην οὐδὲν ἄλλο ἢ τὴν μακρὰν καὶ παχεῖαν δοκὸν οὖσαν, ἣ ἀπὸ τοῦ ἑτέρου τῶν τοίχων εἰς τὸν ἕτερον κατὰ τὸ μέσον διήκει, τὰς δὲ σταμῖνας τὰς μικροτέρας δοκούς, ὧν αἱ κεφαλαὶ ἔνθεν μὲν ἐπὶ τῆς μεσόδμης, ἔνθεν δὲ ἐπὶ τῶν τοίχων στηρίζονται, τὸν δὲ ἱστὸν αὐτὸν ἀπὸ τῆς μεσόδμης εἰς τοὔδαφος καθειμένον καὶ ὥσπερ κίονα αὐτὴν καὶ ὅλην τὴν ὀροφὴν ὑπερείδοντα. Βούλομαι δὲ νῦν, ἐπεὶ τὰ τῆς μεσόδμης ἤδη ἐξήγημαι, καὶ τὰ τοῖς παλαιοῖς περὶ αὐτῆς εἰρημένα δι' ὀλίγων βασανίσαι. Πάντων τοίνυν τῶν τῆς μεσόδμης μεμνημένων ἀρχαιότατός ἐστιν Ἱπποκράτης ὁ ἰατρός, ὅς ἐν τῷ περὶ ἄρθρων φησὶ χρῆναι τὸν ἄνθρωπον τὸν τοῦ σκέλους ἔξαρθρον γενόμενον τῶν ποδῶν πρὸς μεσόδμην κρεμάσαι καί, ᾗπερ ὑφηγεῖται, τὸ ἐκχωρῆσαν ἄρθρον κατευθῦναι. Ἔνθεν δὴ δῆλον γίγνεται, ὅτι μεσόδμη ἐστὶν ἡ μεγάλη δοκὸς ἡ κατὰ τὸ μέσον τῆς ὀροφῆς ὑπάρχουσα, ἐξ ἧς ἄν τις ῥᾳδίως σχοινίον ἐξάψειε διὰ τῶν διαστημάτων, ἃ μεταξὺ τῶν κεφαλῶν τῶν δοκῶν τῶν ἐπ' αὐτῆς ἐρειδομένων ὑπάρχει. Ἐκ γὰρ τῶν ἄλλων μικροτέρων δοκῶν οὐδαμῶς ἐστι σχοινίον τι ἐξάψαι, ἅτε τοῦ ὀρόφου εὐθὺς ἐφαπτομένων, ὅταν ἡ ὀροφὴ ἐπ' εὐθείας καὶ παράλληλος τῷ ἐδάφει τυγχάνῃ οὖσα. Οἶμαι δὲ μηδένα ἀγνοεῖν, ὅτι μόναι αἱ τοιαῦται τῶν ὀροφῶν καὶ μεσοδμῶν δέονται, τῶν ὑψηλῶν καὶ ἐπικλινῶν ὀροφῶν ἑτέρως μεμηχανημένων. Ὁ δὲ Γαληνός, ὅς πεντακοσίοις μάλιστα ἔτεσιν ὕστερον γεγονὼς ὑπομνήματα εἰς τὰ ἐκείνου γέγραφεν, ἐξηγούμενος τὴν μεσόδμην φησὶν αὐτὴν εἶναι τὸ μέγα ξύλον, ὃ ἀπὸ τοῦ ἑτέρου τοίχου πρὸς τὸν ἕτερον διήκει ἔν τε τοῖς πανδοχείων οἴκοις τοῖς μεγάλοις, ἐν οἷς ἱστᾶσι τὰ κτήνη, καὶ κατ' ἀγρὸν ὁμοίως ἐν τοῖς γεωργικοῖς. Καὶ πάλιν ὁ αὐτός φησιν μεσόδμην τὴν καθ' ἕνα οἶκον εἰς δύο μεμερισμένον τῆς δοκοῦ εἶρξιν, οἷον μεσοδμήν τινα οὖσαν. Οὔκουν καὶ ὁ Γαληνὸς τὴν ἐν τῷ μέσῳ τῆς ὀροφῆς

1) Ὅρα Doederlein, Homer. Glossar. τομ. 1. σελ. 283—4. ἀριθμ. 357.

μεγάλην δοκὸν τούτοις φράζειν βούλεται; ἢ τί ἂν ἄλλο τὸ μέγα ξύλον τό γε ἀπὸ τοῦ ἑτέρου εἰς τὸν ἕτερον τοῖχον διῆκον καὶ ἡ τῆς δοκοῦ αὖ εἶρξις καθ' ἕνα οἶκον διχῇ μεμερισμένον ἂν εἴη; Ἀλλὰ πάντως δήπου παρὰ τὴν μεσόδμην καὶ ἕτερόν τι ὁ Γαληνὸς νοεῖ, ὅπερ ἐκ τῶν καθ' ἑαυτὸν χρόνων παρειλήφει, ἵνα τὰ λεγόμενα σαφέστερα καταστήσειε. Ποῖον δὴ τοῦτο; Πολλαὶ δήπου τῶν ὀροφῶν καὶ τοῖς μεθ' Ὅμηρον χρόνοις μεσόδμαις ἐξηρτυμέναι ἦσαν, ἃς τὸ μὲν κίονες ἀνεῖχον [1]), τὸ δὲ καὶ στῦλοι αὐτὰς ὑπεβάσταζον [2]). Ταῦτα δήπου γε τὰ ἐρείσματα ἓν καὶ δύο ἢ καὶ πλείω κατὰ τὴν χρείαν ὄντα ἀπὸ τῆς μεσόδμης τῆς κατὰ μέσην τὴν ὀροφὴν κειμένης εἰς τοὔδαφος διήκοντα δίχα τὰ οἰκήματα διῄρει. Ταύτην οὖν τὴν τῆς δοκοῦ εἶρξιν οἱ ἐπὶ Γαληνοῦ ἄνθρωποι φαίνονται εἰς ἀληθῆ ξύλινον μεσότοιχον μετασκευάζοντες ἔν τε τοῖς πανδοχείων οἴκοις καὶ ἐν τοῖς κατ' ἀγρὸν γεωργικοῖς, σανίδας ἐν τοῖς μεταξὺ τῶν στύλων κενοῖς διαστήμασι προσηλοῦντες, ἃς ῥᾳδίως πάλιν ἀφελεῖν ἠδύναντο. Ἐξηγούμενος οὖν ὁ Γαληνὸς τὴν Ἱπποκράτειον μεσόδμην καὶ τὸ ὑπ' αὐτῇ διάφραγμα νοεῖ, ὃ ἐκ τῶν καθ' ἑαυτὸν χρόνων παρείληφε. Καὶ πάρεστι μὲν ἔτι καὶ νῦν τῆς Ἑλλάδος ἔν τε ταῖς νήσοις καὶ κατὰ τὴν ἤπειρον τὸν τοιοῦτον μεσότοιχον ἰδεῖν· ἔστι μέντοι τῆς ἰδέας τοῦ Ὁμηρικοῦ οἴκου καὶ τῆς μεσόδμης παντάπασιν ἀλλότριος. Ἐκ τῶν εἰρημένων οὐ χαλεπὸν νῦν κρίνειν πάσας συλλήβδην τὰς τῶν παλαιῶν σχολίων περὶ μεσόδμης ἑρμηνείας, ὁπόσου δὴ ἄξιαί εἰσιν. Ἡ μὲν γὰρ ἑρμηνεία, ἣν Ἀριστάρχου φασὶν εἶναι, ὡς μεσόδμαι τὰ μεσόστυλα, καὶ ἡ ἑτέρα, ὡς τὰ διαφράγματα τὰ μεταξὺ τῶν κιόνων εἰσίν, οὐ πάνυ ταῖς τοῦ Γαληνοῦ διαφέρουσιν· ἡ δὲ μεσόδμας καλοῦσα τὰ μεταξὺ τῶν δοκῶν διαστήματα παντάπασι ψευδής ἐστιν, ὡς οὔτε κατὰ τὴν ἀρχαίαν τῆς μεσόδμης ἰδέαν οὔτε κατὰ τὴν μετὰ ταῦτά ἐστιν αὐτὴν ἐκλαβεῖν. Παραπλησίαν δὲ ταύτῃ ἑρμηνείαν καὶ ὁ Γαληνὸς φαίνεται οὐκ ἀποδεχόμενος ἐν οἷς φησι „τινὲς δὲ καὶ τὸ ὑπερκείμενον στέγος μεσόδμην καλοῦσι.“ Τῶν δὲ νεωτέρων ἑρμηνειῶν πασῶν συλλήβδην ἡ τοῦ Δοιδερλίνου ὀρθοτάτη ἐστί [3]). Καὶ ταῦτα μὲν περὶ τῶν μεσοδμῶν· νῦν δὲ περὶ τοῦ πλήθους αὐτῶν καὶ περὶ τῶν ἐν τῇ ἀνδρωνίτιδι κιόνων βραχέα ἔτι εἰπεῖν

---

1) Παυσ. 6, 9, 3. 2) Αἰσχύλ. Ἀγαμ. 897. 3) Ὅρα Hom. Gloss. τομ. 1. σελ. 233, ἀριθμ. 357.

βούλομαι. Ὅτι μὲν αἱ μεσόδμαι πολλαί εἰσιν, φανερὸν ἐκ τοῦ πληθυντικοῦ ἀριθμοῦ, ᾧ ὁ ποιητὴς κέχρηται[1]*, καὶ ἐκ τοῦ πλήθους τῶν ὑποβασταζόντων αὐτὰς κιόνων· τοῖς δὲ χωρίοις ἐν οἷς γε Ὅμηρος μνείαν περὶ αὐτῶν ἐποιήσατο, πιστοῦν οὐκ ἔχομεν, ὁπόσαι τὸν ἀριθμὸν ἐτύγχανον οὖσαι. Οὐδὲν οὖν ἄλλο ἡμῖν λοιπὸν ἢ τὸ τῶν κιόνων πλῆθος ἀληθῶς εὑρεῖν καὶ δι' αὐτοῦ ζητῆσαι καὶ τὸ τῶν μεσοδμῶν ἀκριβοῦν.*

Κίονες.

Παντὸς οὖν τοῦ πλήθους τῶν τῆς ἀνδρωνίτιδος κιόνων δυοῖν μόνοιν ἀκριβῶς τὴν χώραν, ἵνα ἵδρυντο, ἐπιστάμεθα, ὅθεν τόν τε ἀριθμὸν καὶ τὴν διάθεσιν αὐτῶν εὑρεῖν πειράσομαι. Ὁ μὲν τοίνυν ἕτερος τοῖν κιόνοιν δὶς ὑφ' Ὁμήρου μνημονευθεὶς ἐν τῇ Ἀλκίνου καὶ Ὀδυσσέως ἀνδρωνίτιδι παρὰ τῇ ἐσχάρᾳ ἦν[2]*, ὁ δὲ ἕτερος ἐν μὲν τῇ Ἀλκίνου σαφῶς λέγεται „μέσσῳ δαιτυμόνων" εἶναι*[3]*, ἐν δὲ τῇ Ὀδυσσέως κατὰ τὴν ἀντιστοιχοῦσαν χώραν διαρρήδην μὲν οὐ μνημονεύεται, ῥᾳδίως μέντοι νοεῖσθαι δύναται, ἐπειδάν τις μάλιστα τὴν ἡμαρτημένην γραφὴν ἐκποδὼν ποιήσηται. Ἐν τοῖσδε γοῦν ὁ κίων νοεῖται, ἐν οἷς Τηλέμαχος πεποίηται τοῖς μνηστῆρσι παρακαθήμενος καὶ τὸ ἐγγὺς αὐτοῦ ἱστάμενον ἔγχος λαμβάνων, ἐπεὶ πρῶτον αὐτῷ ὁ πατὴρ ἀπὸ τῆς θύρας ἔνευσεν, ἵνα ἕτοιμος εἴη*[4]*. Ἀλλ' ἄμεινον αὐτὰ τὰ ἔπη παραθεῖναι*

ὁ δ' ἀμφέθετο ξίφος ὀξὺ
Τηλέμαχος φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
ἀμφὶ δὲ χεῖρα φίλην βάλεν ἔγχεϊ, ἄγχι δ' ἄρ' αὐτοῦ
πὰρ θρόνον ἑστήκει κεκορυθμένος αἴθοπι χαλκῷ.

Ἐνταῦθα οὖν τὸ ἐν πάσαις ταῖς ἐκδόσεσι φερόμενον κεκορυθμένος διορθούμενος καὶ εἰς τὸ οὐδέτερον κεκορυθμένον τρέπων, ὑποκείμενον δὲ αὐτοῦ τε καὶ τοῦ ἑστήκει τὸ ἔγχος ἐννοῶν φημι οὕτως ἂν τὸν νοῦν μᾶλλον εὐοδοῦσθαι ἢ ἐκείνως. Οὐ γὰρ ὁ Τηλέμαχος παρὰ τῷ Ὀδυσσεῖ, ἀλλὰ τὸ ἔγχος παρὰ τῷ Τηλεμάχῳ ἑστήκει. Ὁ μὲν γὰρ Τηλέμαχος ἐν τοῖς μνηστῆρσι παρὰ ταῖς τραπέζαις ἐκάθητο, ὁ δὲ Ὀδυσσεὺς ἔνδον μὲν τῆς ἀνδρωνίτιδος, ἀλλὰ παρὰ τῇ θύρᾳ, ἔνθα ἦν αὐτῷ ἡ τράπεζα,

---

1) Ὀδ. Τ. 37. Υ. 354. 2) Ὀδ. Ζ. 307. Ψ. 90—1. 3) Ὀδ. Θ. 66, 473. 4) Ὀδ. Φ. 431—4.

ἵστατο. Τοιγαροῦν μικρῷ ὕστερον μεταπηδήσαντος τοῦ Ὀδυσσέως εἰς τὸν οὐδὸν καὶ βαλόντος πρῶτον μὲν Ἀντίνουν, εἶτα δὲ μετά τινα λογομαχίαν Εὐρύμαχον, λέγεται Τηλέμαχος, ἐπεὶ πρῶτον Ἀμφίνομον Ὀδυσσεῖ προσμῖξαι ὁρμήσαντα, εἴ πως τῶν θυρῶν ἀποκινήσειε, βαλὼν ὄπισθεν τῷ δόρατι κατέβαλε, τάχιστα πρὸς τὸν πατέρα δραμεῖν

βῆ δὲ θέειν, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν. [1])

Οὐχ ἵστατο ἄρα Τηλέμαχος κεκορυθμένος ἄγχ' αὐτοῦ, τοῦ Ὀδυσσέως, καθάπερ ἡμαρτημένως γράφεται καὶ ἑρμηνεύεται, ἀλλὰ τὸ ἔγχος ἄγχι τοῦ Τηλεμάχου ἑστήκει κεκορυθμένον αἴθοπι χαλκῷ. Καὶ ποῦ δὴ αὐτὸ εὐθὺς εἱστήκει; Πρὸς κίονα μακρὴν πὰρ θρόνον, φαίην ἂν ἔγωγε καθ' Ὅμηρον, ὃς καὶ ἐν τοῖς ἔμπροσθεν τὸν Τηλέμαχον πεποίηκε τὸ τῆς Ἀθηνᾶς ἔγχος φέροντα καὶ ἱστάντα πρὸς κίονα μακρήν, δουροδόκης ἔντοσθεν ἐυξόου [2]). Ὁ θρόνος τοίνυν, ἐφ' οὗ ὁ Τηλέμαχος κάθηται, πρὸς τὸν κίονα ἐρείδεται, ὥσπερ ὁ τοῦ Δημοδόκου ἐν τῇ Ἀλκίνου ἀνδρωνίτιδι, καὶ τὸ ἔγχος, καὶ διὰ τοῦτο λέγεται ἄγχι αὐτοῦ πὰρ θρόνον ἑστηκέναι κεκορυθμένον χαλκῷ. Ὁ δὲ κίων, ὃς παρὰ τῇ ἐσχάρᾳ ἦν, φαίνεται ἐν δεξιᾷ ἢ ἐν ἀριστερᾷ τῆς εἰς τὴν γυναικωνῖτιν εἰσόδου κατὰ τὴν ἑτέραν τῶν γωνιῶν τῶν συνισταμένων ἔκ τε τοῦ κοινοῦ καὶ ἑκατέρου τῶν πλαγίων τοίχων ἱδρυμένος. Ἡ γὰρ Ἀρήτη, ἣ ἐν τῇ μεταξὺ τῆς θύρας τῆς γυναικωνίτιδος καὶ τῆς ἐσχάρας χώρᾳ ἐπὶ θρόνου κάθηται, πάντως οὐ πρὸ τῆς θύρας ἀκριβῶς ἵδρυται, ἀλλὰ σμικρὸν αὐτῆς περαιτέρω παρὰ τὸν κοινὸν τοῖχον καὶ διὰ τοῦτο τῷ κίονι κεκλίσθαι λέγεται. Τὸ δὲ κεκλίσθαι μὴ τὸ προσερηρεῖσθαι, ἀλλ' οἷον τῷ κίονι ἀφωρίσθαι τὴν τῆς Ἀρήτης ἕδραν δηλοῦν ἡγοῦμαι [3]). Καὶ ὅσα δ' αν περὶ τῆς ἐν τούτῳ τῷ τόπῳ ἕδρας τῆς Πηνελόπης καὶ τοῦ Ὀδυσσέως Ὅμηρος εἴρηκε καὶ ταῦτα τὴν τοῦ κίονος χώραν, ἥπερ εἴρηταί μοι, δηλοῖ. Καθημένου γὰρ τοῦ Ὀδυσσέως πρὸς τοῦτον τὸν κίονα ἡ Πηνελόπη εἰς τὴν ἀνδρωνῖτιν εἰσελθοῦσα διὰ τῆς θύρας τῆς γυναικωνίτιδος καὶ μικρὸν πρὸς θάτερον τῶν πλαγίων τῆς θύρας μερῶν παρὰ τὸν κοινὸν τοῖχον χωρήσασα καθίζεται ἐναντίον αὐτοῦ

---

1) Ὀδ. Χ. 99. 2) Ὀδ. Α. 127—9. 3) Ὀδ. Ζ. 307. πρβ. Nitzsch, Anm. 2, σελ. 130.

ἡ δ' ἐπεὶ εἰσῆλθεν καὶ ὑπέρβη λάινον οὐδόν,
ἕζετ' ἔπειτ' Ὀδυσῆος ἐναντίον, ἐν πυρὸς αὐγῇ,
τοίχου τοῦ ἑτέρου· ὁ δ' ἄρα πρὸς κίονα μακρὴν
ἧστο κάτω ὁρόων [1]).

Ὁ ἕτερος τοῖχος.

Καὶ ταῦτα μὲν περὶ τοῦ κίονος τούτου. Βούλομαι δὲ μικρὸν τοῦ λόγου παρατραπόμενος εἰπεῖν, ὅστις ὁ ἕτερος οὗτος τοῖχός ἐστιν, οὗ ἐγγὺς ἡ Πηνελόπη καθίζεται. Πότερον οὖν ὁ ἕτερος τῶν πλαγίων τοίχων, ἤ, ὥσπερ τινὲς βούλονται, ὁ ἕτερος τοῦ πρὸ τῆς θύρας τῆς γυναικωνίτιδος μικροῦ προστῴου [2]***); Οὐδέτερον τούτων, ὡς ἐμοὶ δοκεῖ, Ὅμηρος τῇ καλουμένῃ τοπικῇ, μᾶλλον δὲ μεριστικῇ γενικῇ „τοίχου τοῦ ἑτέρου" χρησάμενος φράζειν βούλεται, ἀλλ' αὐτὸν τὸν κοινὸν τῇ τε γυναικωνίτιδι καὶ ἀνδρωνίτιδι τοῖχον ὡς τῇ θύρᾳ εἰς δύο μοίρας διαιρούμενον, ὧν τὴν ἑτέραν οὕτως ὁ ποιητὴς ἐξήνεγκε. Καὶ ὅτι μὲν οὐδέτερος τῶν πλαγίων τοίχων, ἀλλ' ὁ κοινός ἐστι, δῆλον ἐξ ὧν καὶ ἐν Ἰλιάδι περὶ τῆς Πριάμου εἰσόδου εἰς τὴν ἀνδρωνῖτιν τῆς Ἀχιλλέως σκηνῆς αὖθις Ὅμηρος εἴρηκε. Φησὶ γὰρ Πρίαμον μὲν Ἕκτορα λύσασθαι βουλόμενον εἰς τὴν Ἀχιλλέως σκηνὴν ἐλθεῖν καὶ εἰσελθόντα χωρῆσαι ἰθὺς οἴκοιο, τῇ ῥ' Ἀχιλλεὺς ἵζεσκε ἀντιβολήσοντα*** [3]***), Ἀχιλλέα δὲ τοῖς τοῦ γέροντος λόγοις καμφθέντα ἀναστῆναι καὶ Ἕκτορα λῦσαι καὶ μετὰ τοῦτο εἰς τὴν αὐτὴν χώραν ἐπανελθεῖν***

ἦ ῥα καὶ εἰς κλισίην πάλιν ᾔιε δῖος Ἀχιλλεύς,
ἕζετο δ' ἐν κλισμῷ πολυδαιδάλῳ, ἔνθεν ἀνέστη,
τοίχου τοῦ ἑτέρου, ποτὶ δὲ Πρίαμον φάτο μῦθον [4]).

Οὐκοῦν ὁ τοῖχος, οὗ ἐναντίον εὐθὺς ἀπὸ τῆς εἰσόδου ὁ Πρίαμος ἐχώρει, καὶ ᾧ ἡ τοῦ Ἀχιλλέως ἕδρα παρέκειτο, καὶ εἰς ὃν ὁ Ἀχιλλεὺς ἐξελθὼν πάλιν ἦλθεν, οὐδέτερος τῶν πλαγίων τοίχων ἐστίν, ἀλλ' ὁ τῇ ἔξωθεν εἰσόδῳ ἀντικείμενος, ὃς κοινὸς τῇ γυναικωνίτιδι καὶ ἀνδρωνίτιδι καὶ ἐν τοῖς ἀνακτόροις ἦν. Τὸ γὰρ Πρίαμον εἰσελθεῖν εἰς τὴν σκηνὴν καὶ προσχωρῆσαι αὐτῇ σχεδὸν τῇ τραπέζῃ λαθόντα τοὺς Ἀχιλλέως ἑταίρους, οἳ μικρὸν ἀπὸ τῆς τραπέζης ἐκάθηντο, ὡς ἄρτι τοῦ ἐσθίειν ἀπο-

1) Ὀδ. Ψ. 88—91. 2) Rumpf, de aed. Hom. altera pars comment. σελ. 37. πρβ. Ameis καὶ Fäsi ἐν Ὀδ. Ψ. στιχ. 90. 3) Ἰλ. Ω, 471—2. 4) αὐτόθι στιχ. 596—8.

παύσαντες, οὐ δηλοῖ, οἶμαι, καὶ τοῦτο μὴ ἰδεῖν αὐτοὺς Πρίαμον εἰσελθόντα, ὡς ἐναντίον μὲν Ἀχιλλέως καθημένους, κατὰ νώτου δὲ τὴν εἴσοδον, ὅθεν Πρίαμος εἰσῆλθεν, ἔχοντας; Εἰκὸς οὖν τὸν Ἀχιλλέα παρὰ τῷ μεσοτοίχῳ καθῆσθαι καὶ καταντικρὺ εἰς τὴν εἴσοδον βλέπειν. Ὅτι δ' αὖ τῇ γενικῇ „τοίχου τοῦ ἑτέρου" οὐδαμῶς ἐστιν ὑπολαβεῖν τὸν ἕτερον τῶν τοίχων προστῴου τινὸς πρὸ τῆς θύρας ὑπάρχοντος, πάρεστι καὶ τοῦτο μαθεῖν ἐκ τῆς διπλῆς μνείας, ἧς ἡ αὐτὴ φράσις ἔτυχε περὶ πράγματα τοῖς εἰρημένοις ὅμοια, ἅπερ καὶ ἐν τῇ Ἀχιλλέως σκηνῇ ἐγένετο [1]). Χρὴ γὰρ καὶ ἐν τῇ Ἀχιλλέως σκηνῇ, καθ' ἃ δὴ οὗτοι γιγνώσκουσιν, ὥσπερ καὶ ἐν τῷ Ὀδυσσέως ἀνακτόρῳ, τοιοῦτον πρὸ τῆς ἀντιστοίχου θύρας προστῷον πάντως νοεῖν, ἅτε δὶς τοῦ ἑτέρου τοίχου μνημονευομένου. Ἀλλ' ἐν μὲν τῇ τῶν ἀνακτόρων ἀνδρωνίτιδι τοιοῦτος ἀρχιτεκτονικὸς κόσμος οὐ περιττὸς οὐδ' ἀνάρμοστος, εἴποι τις ἂν ἴσως, τὸ δὲ καὶ ἐν ταῖς τῶν στρατοπέδων σκηναῖς καὶ μάλιστα τῶν χρόνων ἐκείνων τοιαῦτα ζητεῖν παντάπασιν ἄτοπον ἔμοιγε δοκεῖ. Ἐντεῦθεν οὖν φανερόν, ὅτι τὰ περὶ τοῦ μυχοῦ τῆς ἀνδρωνίτιδος συνήθως λεγόμενα οὐκ ἀληθῆ ἐστιν. Ἀλλὰ περὶ τούτου ὕστερον τὰ εἰκότα ἐρῶ· ἐπάνειμι δ' αὖθις ἐπὶ τοὺς κίονας, ὅθεν ἐξέβην.

Διάθεσις τῶν Κιόνων.

Νῦν δὲ τὴν χώραν τοῦ ἑτέρου τῶν ἐν τῇ ἀνδρωνίτιδι κιόνων εὑρεῖν ἐπιχειρήσω. Οὐκοῦν καὶ πρόσθεν εἴρηταί μοι, ὅτι ἐν μὲν τῇ Ἀλκίνου μέσσῳ δαιτυμόνων ἦν, ἔνθα ὁ ἀοιδὸς Δημόδοκος ἵδρυτο [2]), ἐν δὲ τῇ Ὀδυσσέως ἐν ἐκείνῃ τῇ χώρᾳ, ἐν ᾗ ὁ Τηλέμαχος ἐκάθητο [3]). Ἡγοῦμαι μέντοι μὴ μόνον αὐτοῦ, ἀλλὰ καὶ πάντων τῶν ἄλλων κιόνων τὴν ἐν τῇ ἀνδρωνίτιδι διάθεσιν, ὥςγε ἐμοὶ φαίνεται, μὴ ἂν ἄλλως σαφεστέραν ποιήσειν ἢ ὧδε σκεψάμενος. Ἐὰν οὖν ἀπὸ τοῦ παρὰ τῇ ἐσχάρᾳ κίονος, ὃν τοῦ μὲν πλάτους κατὰ τὸ τρίτον μέρος, τοῦ δὲ μήκους κατὰ τὸ τέταρτον μάλιστα ἱδρῦσθαι ἡγοῦμαι, ὥσπερ ἐκ σημείου τινὸς εὐθεῖαν ἑκατέρωθεν προεκβαλεῖν βουληθῶμεν, ὥστε τὸ μὲν βραχύτερον αὐτῆς μέρος εἰς τὸν μεσότοιχον διήκειν, τὸ δὲ μακρότερον εἰς τὸν ἀντικείμενον καὶ παράλληλον αὐτῷ τοῖχον, δι' οὗ ἡ ἔξωθεν εἴσοδος,

---

1) Ἰλ. Ι. 219. Ω. 598. 2) Ὀδ. Θ. 473. 3) Ὀδ. Φ. 434.

ἀφικνεῖσθαι, πρῶτον μὲν τὸ ὅλον τοῦ μεγάρου μῆκος δι᾽ αὐτῆς ἕξομεν, εἶτα δὲ τοῦ ὅλου ἐπιπέδου κατὰ τὸ μῆκος νοουμένου τὸ τρίτον μέρος, ὃ μεταξὺ τοῦ ἑτέρου τῶν πλαγίων τοίχων καὶ τῆς εὐθείας ταύτης κεῖται πλινθίῳ παρεμφερές. Ἢν δ᾽ αὖ μετὰ τοῦτο ἑτέραν τῇ πρώτῃ παράλληλον νοήσωμεν, ὥστε καὶ ταύτην ἕτερα δύο μὴ μόνον ἀλλήλοις, ἀλλὰ καὶ τῷ πρώτῳ ἑκάτερον, ἀκριβῶς ἴσα πλινθία ὑπογράφειν, θἄτερον μὲν ἀπὸ τοῦ ἑτέρου αὖ τῶν πλαγίων τοίχων μέχρι τῆς δευτέρας εὐθείας, θἄτερον δὲ ἀπὸ ταύτης μέχρι ἐκείνης, ὃ καὶ τὸ μεσαίτατόν ἐστιν, εἰς τρεῖς μοίρας ἴσας τὸ ὅλον τῆς ἀνδρωνίτιδος ἐπίπεδον διαιρεθήσεται. Οὕτω δὴ τὸ ἐπίπεδον διελὼν τοὺς κίονας νῦν διατίθημι. Ὁ μὲν οὖν παρὰ τῇ ἐσχάρᾳ κίων ἐπὶ τῆς ἑτέρας τῶν εὐθειῶν, ὥσπερ εἴρηται, ἐστί· τὸν δὲ ἕτερον τίθημι ἐν τῷ μέσῳ ἤτοι τῆς αὐτῆς, ἐφ᾽ ἧς καὶ ὁ ἕτερος ἢ ἐπὶ τῆς ἑτέρας· οὐδὲν γὰρ κωλύει καὶ οὕτως ἐννοεῖν. Καὶ ἐὰν μὲν ἐπὶ τῆς αὐτῆς ἀμφοτέρους θῶμεν, ἀνάγκη κατὰ τὸν τῆς συμμετρίας λόγον καὶ τρίτον κίονα νοεῖν ὑπάρχοντα, τοσοῦτον ὅμως ἀπὸ τοῦ ἐν τῷ μέσῳ ἀπέχοντα, ὅσονπερ ὁ παρὰ τῇ ἐσχάρᾳ ἐκείνου, καὶ κατὰ τὴν ἑτέραν τῶν γωνιῶν ἱδρυμένον, αἵ ἐκ τοῦ τοίχου, δι᾽ οὗ ἡ ἔξωθεν εἴσοδος, καὶ ἑκατέρου τῶν πλαγίων συνίστανται. Ἐὰν δ᾽ αὖ μὴ ἐπὶ τῆς αὐτῆς, ἀλλ᾽ ἐν τῷ μέσῳ τῆς ἑτέρας εὐθείας αὐτὸν θῶμεν, μὴ ἕνα, ἀλλ᾽ ἑτέρους δύο κατὰ τὸν αὐτὸν λόγον καὶ ἐνταῦθα νοεῖν δεῖ, ἑκάτερον πρὸς ἑκατέρᾳ τῶν ἀλλήλαις ἀντικειμένων γωνιῶν ἱστάμενον καὶ ἴσον αὖθις ἀπὸ τοῦ ἐν τῷ μέσῳ τεθέντος ἀπέχοντα, ὥστε τοὺς πάντας τρεῖς εἶναι. Μετὰ δὲ τοῦτο, ἵνα ἡ τῶν κιόνων ἀντιστοιχία πλήρης ᾖ, ἐπὶ τῆς ἑτέρας εὐθείας, ἐφ᾽ ἧς ὁ παρὰ τῇ ἐσχάρᾳ κίων ἵδρυται, ἑτέρους δύο τιθέναι χρή, ὅν γε δὴ τρόπον καὶ πρόσθεν ὑποτιθέμενοι αὐτοὺς ἔθεμεν, ἵνα σύμπαντες οἱ ἐν τῇ ἀνδρωνίτιδι κίονες ἓξ τὸ πλῆθος ὦσιν. Ὥσπερ οὖν αἱ εὐθεῖαι τὸ ἐπίπεδον τὸν αὐτὸν τρόπον ἀμφότεροι οἱ τῶν κιόνων στοῖχοι τὴν ὅλην ἀνδρωνῖτιν εἰς τρεῖς μοίρας νῦν διαιροῦσιν, εἴς τε τὴν ἐν τῷ μέσῳ, ἣ ἀμφοτέροις τοῖς τῶν κιόνων στοίχοις περιβάλλεται, καὶ εἰς τὰς δύο κατὰ τὰ πλάγια, ὧν ἑκατέρα τῷ ἑτέρῳ τῶν πλαγίων τοίχων καὶ τῶν στοίχων τῶν κιόνων περιέχεται. Βουλόμενος δὲ σαφῶς καὶ συντόμως τὰς κατὰ τὰ πλάγια τῆς ἀνδρωνίτιδος μοίρας φράζειν ἀπορίᾳ ἄλλου δηλωτικοῦ ὀνόματος πτέρυγας καλῶ, ὧν ἡ μὲν δεξιά, ἡ δὲ ἀριστερὰ τῷ ἔξωθεν

εἰσιόντι λέγοιτ' ἄν. Ἐκ τῶν εἰρημένων ἤδη ἀκριβῶς τις αν ἔχοι εἰπεῖν, διότι Ὅμηρος τὸν ἕτερον τῶν ἐν τῷ μέσῳ ἱσταμένων κιόνων, οὗ σαφῶς ἐν τῇ Ἀλκίνου ἀνδρωνίτιδι μέμνηται, μέσσῳ δαιτυμόνων αὐτὸν ἱδρῦσθαι εἴρηκε. Τῶν γὰρ Φαιάκων ὑπὸ τῇ δεξιᾷ ἢ ἀριστερᾷ πτέρυγι ἑστιωμένων, ὡς οὐ πάνυ πολλῶν ὄντων, οὐκ ἂν ἄλλοθι ὁ κίων ἱδρυμένος εἴη ἢ κατὰ μέσον τὸ μῆκος τῶν τραπεζῶν παρὰ τὴν ἑτέραν τῶν πλευρῶν αὐτῶν, τῆς ἑτέρας παρὰ τὸν πλάγιον τοῖχον παρατεινομένης. Ἐν δὲ τῇ Ὀδυσσέως ἀνδρωνίτιδι τῶν μνηστήρων ἐν τῷ μέσῳ εὐωχουμένων εἰκὸς ἑκάτερον τῶν συζύγων τούτων κιόνων τὸν αὐτὸν τρόπον ἔνθεν καὶ ἔνθεν τῶν τραπεζῶν ἱδρῦσθαι, καὶ τὸν Φήμιον, ὥσπερ τὸν Δημόδοκον, πρὸς τὸν ἕτερον ἐρειδόμενον μέσσῳ δαιτυμόνων καὶ αὐτὸν εἶναι. Καὶ Ἵρτιος δὲ ἐν τῇ ἱστορίᾳ τῆς ἀρχιτεκτονικῆς φησι τὴν ἀνδρωνῖτιν ἐπιμήκη μὲν τὸ σχῆμα εἶναι, δυοῖν δὲ κιόνων στοίχοιν, οἳ τὰς ἐλατίνους δοκοὺς τῆς ὀροφῆς ἀνεῖχον, εἰς τρία μέρη αὐτὴν διαιρεῖσθαι, ὧν τὸ μέσον μεῖζον τῶν ἄλλων ἦν, ὡς ἐν αὐτῷ τῶν συμποσίων κατασκευαζομένων. Τοῖς δὲ πλαγίοις τοίχοις ἡμικίονας παρεστηκέναι βούλεται, οἷς τὰ τῶν δοκῶν ἄκρα προσηρείδετο. Τοῦτο δὴ οὐ μόνον Ἱρτίῳ καὶ ἐκείνοις τῶν νεωτέρων, ὅσοι αὐτῷ ἠκολούθησαν, ἀλλὰ καὶ ἐνίοις των παλαιῶν οὐκ ὀρθῶς ἔδοξεν[1]). Εἰκότως γὰρ ἄν τις ἀπιστήσειεν ἀναγνοὺς ὅτι τὰ τῶν δοκῶν ἄκρα οὐκ ἐπὶ τῶν τοίχων ἐστηρίζετο, ἀλλ' ὡς ψευδοκίονες παρῳκοδόμηντο, ἵνα αὐτὰ ὑποβαστάζοιεν. Ἔτι δὲ τῆς τέχνης αὐτῆς κατ' ἐκείνους τοὺς χρόνους γίγνεσθαι ἀρξαμένης καὶ διὰ τοῦτο ἀτελοῦς οὔσης ἀπίθανον εἴτ' οὖν πρὸς κόσμον εἴτε φαντασίας καὶ εὐρυθμίας ἕνεκα τοιαῦτα ἀπηκριβῶσθαι. Βουλόμενος δὲ νῦν τῷ περὶ ἐρεισμάτων τῆς ὀροφῆς λόγῳ τοσοῦτον μῆκος λαβόντι τέλος ἐπιθεῖναί φημι τοὺς ἓξ τῆς ἀνδρωνίτιδος κίονας δύο ὀρθοὺς στοίχους κατὰ μῆκος ποιοῦντας τρεῖς μεσόδμας κατὰ τὸ πλάτος τῆς ὀροφῆς κειμένας ἀνέχειν, σύνδυο ἑκάστην.

Χώρα τοῦ κρατῆρος.

Ἐκ δὲ τῆς ἐν τῇ ἀνδρωνίτιδι τῶν τραπεζῶν διαθέσεως πάρεστι νῦν καὶ τὴν τοῦ κρατῆρος χώραν ῥᾳδίως μαθεῖν.

---

1) Hirt, Gesch. d. Baukunst 1, σελ. 213, § 11. Friedreich, Realien σελ. 305. Krause, Deinokrates σελ. 496. Schol. Ambr. σελ. 506 ed. Buttm.

Λέγεται γὰρ ὁ θυοσκόος Λειώδης, ὃς ταῖς τῶν ἄλλων μνηστήρων ἀτασθαλίαις χαλεπαίνων ἐνδοτάτω τῆς ἀνδρωνίτιδος παρὰ τὸν κρατῆρα ἔσχατος ἐκαθίζετο, πρῶτος ἀπὸ τῆς ἕδρας αὐτοῦ ἀναστῆναι, ᾗ τελευταία τῇ δεξιᾷ τῶν τραπεζῶν πλευρᾷ παρέκειτο, ὅθεν περ καὶ ὁ οἰνοχόος ἐκ τοῦ παρακειμένου κρατῆρος ἀρύων οἰνοχοεῖν ἤρχετο, καὶ χωρῆσαι εἰς τὴν θύραν, δι' ἧς ἡ ἔξωθεν εἴσοδος, τὸ τόξον τείνειν βουλόμενος[1]). Εἴπερ οὖν ὁ κρατὴρ ἐν δεξιᾷ τῷ ἔνδοθεν πρὸς τὴν θύραν χωροῦντι ἵσταται, οὐκ εἰκὸς ἐν ἀριστερᾷ τῷ διὰ τῆς αὐτῆς θύρας εἰσιόντι εἶναι; Ἵδρυται τοίνυν ὁ κρατὴρ κατὰ τὸ ἔσχατον ἄκρον τῆς ἀριστερᾶς τῆς ἀνδρωνίτιδος πτέρυγος παρὰ τὸ ἕτερον τοῦ κοινοῦ τοίχου, μικρὸν τῆς τελευταίας παρὰ τῇ ἄκρᾳ τραπέζῃ ἕδρας ἀπέχων[2]).

Μέλαθρον.

Προσήκει δὲ νῦν τοῖς περὶ τῶν μεσοδμῶν καὶ τῶν κιόνων εἰρημένοις καὶ τὰ τοῦ μελάθρου συνάπτειν. Οὐ χαλεπὸν δὲ τὸ μέλαθρον διορίσασθαι· ἔστι γὰρ τὸ τῶν δοκῶν καὶ μεσοδμῶν σύστημα, ἐφ' οὗ ἡ ὀροφή. Καὶ ὑπὸ μὲν τῶν νῦν Ἑλλήνων ἀναλόγως ἂν αὐτὸ καλοῖτο δοκαρωσιά, ὑπὸ δὲ τῶν Γερμανῶν Gebälk[3]). Τοιγαροῦν οὐ μόνον τῇ ἀνδρωνίτιδι, ἀλλὰ καὶ τοῖς ἄλλοις οἰκήμασι προσήκει[4]). Τῇ γε μὴν καλουμένῃ συνεκδοχῇ, ᾗπερ οἱ ποιηταὶ μάλιστα χαίρουσιν, ἕτερα δύο σημαινόμενα τὸ μέλαθρον προσείληφε, καθ' ἃ δὴ πρῶτον μὲν τὴν ὀροφήν, εἶτα δὲ ὅλον τὸ οἴκημα σημαίνει[5]), ὅθενπερ καὶ τὸ λεγόμενον ὑπελθεῖν μέλαθρον[6]), ὃ ταὐτὸν τῷ τῆς λατινίδος φωνῆς tectum subire ἐστίν. Ἔνιοι δὲ τῶν παλαιῶν τὸ μέλαθρον τῇ μεσόδμῃ ἐξηγήσαντο, ἣν ἐκεῖνοι ὑπόπτοις ὀνόμασι χρώμενοι δοκὸν διάτονον, ὑπέρτονον καλοῦσιν[7]). Οἶμαι δὲ αὐτοὺς ἀφορμὴν πρὸς τοῦτο λαβεῖν ἐκ τοῦ Ὅμηρον φάναι τὴν Ἀθηνᾶν χελιδόνι ὁμοιωθεῖσαν ἐπὶ τὸ μέλαθρον τῆς Ὀδυσσέως ἀνδρωνί-

1) Ὀδ. Φ. 141—150. ὅρα Buttmann, Lexil. 1, σελ. 163 καὶ ἑξῆς. Naegelsbach, Anm. zur Il. σελ. 196. 2) Ὀδ. X. 341. 3) Κουρτίου ἐτυμολογικὸν σελ. 140. 4) Ὀδ. Θ. 279. Λ. 278. πρβ. Ἀπολλ. Σοφ. σελ. 110, 30. Ἡσυχ. ἐν τῷ ὀνομ. μελαθρόφιν. 5) Ἰλ. I. 640 καὶ La Roche ἐνταῦθα. Ὀδ. Σ. 149—50. Ἰλ. B. 413—5. πρβ. Ἡσυχ. ἐν τῷ ὀνομ. μέλαθρα. Σουίδ. λεξ. τομ. 2, σελ. 754. ed. Bernhardy. Schol. Ambr. ἐν. Ὀδ. X. στιχ. 239. σελ. 543 ed. Buttm. 6) Ὀδ. Σ. 150. 7) Ὅρα Ἡσυχ. ἐν τῷ ὀνομ. μέλαθρα. Ἐτυμ. μεγ. σελ. 576, 16, καὶ Döderlein Hom. Gloss. τομ. 3, σελ. 142 [2155].

τιδος ἀναπτάσθαι[1]). Καὶ ὅτι μὲν ἀντὶ τοῦ μελάθρου ἄλλο τι μερικώτερον ὁ ποιητὴς ἐνταῦθα φράζειν ἐδύνατο, φανερόν· ἐξ ὧν ὅμως ἐν τοῖς ἑπομένοις περὶ τῆς Ἀθηνᾶς αὖ λέγει, ὅτι τὴν αἰγίδα ὑψόθεν ἐκ τῆς ὀροφῆς ἀνέσχε, νομίζω μὴ ἂν ἄλλως τὸ μέλαθρον νοεῖσθαι ἢ ὥσπερ ἐν τοῖς ἔμπροσθεν διώρισται[2]). Οὐ μόνον δὲ τὸ ἔνδον τῆς ὀροφῆς, ἀλλὰ καὶ ἡ στέγη αὖθις μέλαθρον καλεῖται. Ὁ γὰρ ἀετός, ὃς Πηνελόπῃ ἐν ὀνείρῳ ἔδοξεν ἐξ ὄρους ἐλθεῖν καὶ πάντας αὐτῇ τοὺς χῆνας ἀποκτεῖναι τῷ προὔχοντι μελάθρῳ προσκαθίζει[3]). Ἔστι δὲ τοῦτο τὸ ὥσπερ γεῖσον προὖχον ἀπὸ τοῦ τοίχου ἄκρον τῆς στέγης. Καὶ ταῦτα μὲν περὶ τοῦ μελάθρου.

Φωταγωγοί.

Ὅτι μὲν καὶ οἱ ἀρχαῖοι διαιτώμενοι ἐν τοῖς οἰκήμασι καὶ ἡμερεύοντες φωτὸς ἐδέοντο καὶ διὰ τοῦτο εἴτε τοὺς τοίχους αὐτῶν εἴτε τὰς στέγας φωταγωγοῖς κατεσκεύαζον, εὔδηλον· ὅτι δὲ οὐχ, ὥσπερ ἡμεῖς νῦν, πολλὰς οὐδὲ μεγάλας οὐδὲ συμμέτρους ἐποίουν, γνωστὸν ἡμῖν καὶ ἄλλοθεν καὶ ἐκ τοῦ ὀνόματος αὐτοῦ· θυρίδας γὰρ αὐτὰς ἐκάλουν. Ἔστι δὲ θυρὶς καθ' Ἡσύχιον ὀπὴ μικρά[4]). Οὐ μὴν ἀλλὰ καὶ ἐν τῇ καθ' ἡμᾶς γνησίᾳ τῶν Ἑλλήνων φωνῇ αἱ φωταγωγοὶ τῶν οἰκημάτων παραθύρια, θυρίδες, φεγγῖται καλούμεναι οὐδὲν ἄλλο ἢ μικραὶ τετράγωνοι καὶ ἐπιμήκεις ὀπαί εἰσιν, αἳ μόνῃ τῇ χώρᾳ, ἐν ᾗ κεῖνται, ἀλλήλων διαφέρουσι. Τὸ μὲν γὰρ παραθύριον, ὥσπερ καὶ τοὔνομα δηλοῖ, παρ' αὐτῇ τῇ θύρᾳ, ἡ δὲ θυρὶς ὑπὲρ αὐτῆς τε καὶ τῆς ἄνω φλιᾶς, ὁ δὲ φεγγίτης κατὰ τὸ ἄνω ἄκρον τῶν τοίχων ὑπὸ τῇ ὀροφῇ ὡς τὸ πολὺ κατασκευάζεται. Καὶ ταῦτα μὲν περὶ τῶν μεθ' Ὅμηρον καὶ τῶν νῦν φωταγωγῶν. Ἐν δὲ τῇ Ὀδυσσέως ἀνδρωνίτιδί τινες τῶν τὰ Ὁμήρου ἐξηγησαμένων φασὶ τοιαύτας ἢ καὶ παραπλησίας φωταγωγοὺς νοεῖσθαι, ἐν οἷς ὁ ποιητὴς τὴν τῆς Ἀθηνᾶς ἐκ τῆς ἀνδρωνίτιδος ἀναχώρησιν πρὸς ὄρνιθος πτῆσιν παραβαλὼν εἴρηκεν

ὄρνις δ' ὣς ἀνόπαια διέπτατο[5]).

---

1) Ὀδ. Χ. 239—40. 2) Ὀδ. Χ. 298. πρβ. αὐτόθι Εὐστάθιον σελ. 1925, 46. 3) Ὀδ. Τ. 544. 4) πρβ. Krause, Deinokrates σ 518 κ. ἑξῆς. A. Winckler, die Wohnhäuser der Hellen. σελ. 174 κ. ἑξῆς. Becker, Charikles [Herm. Göll] τομ. 2, σελ 149. 5) Ὀδ. Α. 320. Hirt, Gesch. d. Baůk 214.

Ἀλλ' ὅμως ταῦτα δὴ τὰ ἀνόπαια οὐ μόνον ἄλλοι τῶν παλαιῶν καὶ νεωτέρων ἄλλως πως καὶ γράφουσι καὶ ἑρμηνεύουσιν, ἀλλὰ καὶ οἱ βουλόμενοι αὐτὰ φωταγωγοὺς εἶναι περί τε τῆς κατασκευῆς καὶ τῆς χώρας, ἐν ᾗ ἦν, ἀλλήλοις αὖ διαφωνοῦσι. Πολὺ δὲ ἔργον ἂν εἴη, εἰ κατὰ μίαν ἑκάστην τῶν γνωμῶν γράφειν βουληθείην. Διὸ δὴ ἐν μὲν τῷ ἐπιμέτρῳ τὰ κυριώτατα τῶν βιβλίων καταγέγραφα, ἐν οἷς ὁ βουλόμενος πάσας συλλήβδην τὰς γνώμας τῶν παλαιῶν καὶ νεωτέρων εὑρεῖν δύναται[1]· ἐνταῦθα δὲ τῆς ὑπὸ Οὐερνέρου ἔναγχος γενομένης ἑρμηνείας μνημονεῦσαι ἀπόχρη μοι, ἥνπερ ὀρθοτάτην πασῶν ἡγοῦμαι[2]). Ὁ γοῦν Οὐέρνερος βασανίσας τὰς τῶν παλαιῶν καὶ νεωτέρων γνώμας περί τε τοῦ τύπου καὶ τοῦ σημαινομένου τοῦ ὀνόματός φησι τὰ ἀνόπαια εἶναι μὲν ἐπίθετον γένους οὐδετέρου καὶ ἀριθμοῦ πληθυντικοῦ καὶ πτώσεως αἰτιατικῆς καὶ συγκεῖσθαι ὥσπερ τὸ ἀναβόλαιον καὶ ἐνεύναιον καὶ ἄλλα τινά[3]), συντετάχθαι δὲ ὅλην τὴν λέξιν ἀ ν ό π α ι α δ ι α π τ ά σ θ α ι ἀναλόγως τῷ ὑπασπίδια προποδίζειν[4]) καὶ τῷ καταλοφάδεια φέρειν[5]). Ὥσπερ οὖν, φησί, τὸ ὑπασπίδια προποδίζειν τῷ τὰ ὑπὸ τῇ ἀσπίδι ὄντα προποδίζειν ἑρμηνεύεται, οὕτω καὶ τὸ ἀνόπαια διαπτάσθαι τῷ τὰ ἀνὰ τὴν ὀπὴν ὄντα διαπτάσθαι (τὸν ἄνω κείμενον χῶρον τῆς ὀπῆς δῆλα δὴ) εἰκότως ἂν ἑρμηνεύοιτο. Καὶ οὕτω μὲν τὴν μᾶλλον ἑτέρων πλεῖσθ' ὅσα πράγματα παρασχοῦσαν ῥῆσιν ταυτηνὶ Οὐέρνερος ἐξηγήσατο, ὀρθῶς ὥς ἔμοιγε φαίνεται. Ὅπου μέντοι τῆς ἀνδρωνίτιδος ἡ ὀπὴ αὕτη ἦν, περὶ τούτου οὐδαμοῦ τῆς πραγματείας διαρρήδην ἀπεφήνατο. Καίτοι γε φαίνεται σιγῇ ἀσπάζεσθαι τὴν γνώμην τῶν θελόντων αὐτὴν ἐν τῷ μέσῳ τῆς ὀροφῆς κεῖσθαι[6]), ἅτε δὴ καὶ ἱστορικῶς τοῖς ὑπὸ Ἡροδότου περὶ τῆς καπνοδόκης παραδιδομένοις ἐμπεδουμένην[7]). Δῆλον δὲ τοῦτο οὐ μόνον ἐξ ὧν περὶ τοῦ τρόπου τῆς πτήσεως εἴρηκεν, ἀλλὰ καὶ ἐκ τῆς ἐν τῷ τέλει τῆς πραγματείας γενομένης πληρεστέρας ἐξηγήσεως, ἣ αὐτοῖς ὀνόμασιν ὧδε ἔχει· mit Vogelschnelle durchflog sie den Raum nach der Luke hinauf[8]).

1) Ὅρα ἐπιμέτρου σημ. δ'. 2) Ἀνόπαια von Emil Woerner, ἐν τῷ Studien zur gr. u. l. Gramm. herausgegeben von Prof. G. Curtius, 6. Bd., 2. Heft σελ. 349—71. Leipzig, 1873. 3) σελ. 368. 4) Ἰλ. N. 158. πρβ. καὶ 806 καὶ Π. 408, κ. ἑξῆς. 5) Ὀδ. K. 169. 6) σελ. 365. 7) Ἡροδ. 8, 137, 20. 8) σελ. 370.

Ἐν δὲ τοῖς εἰρημένοις συνάπτειν ἔτι βούλομαι, κἄπειτα τοῦ περὶ τούτου λόγου παραχρῆμα ἀπαλλάξομαι. Φημὶ δήπου τὴν Οὐερνέρου ἑρμηνείαν τῆς τοῦ παλαιοῦ Κράτητος πράγματι καὶ τεχνικῶς, οὖγε ἡμῖν μόνον ἐνταῦθα μέλει, μηδὲν τὸ παράπαν διαφέρειν. Ὁ μὲν γὰρ Κράτης ὀπὴν ἄντικρυς ἐπὶ τῆς στέγης ἤθελε, καὶ τὴν κεραμίδα, ἥτις ταύτην τὴν ὀπὴν εἶχεν, ἀνοπαῖαν ἐκάλει[1], *ὁ δὲ Οὐέρνερος ὀρθότερον τῶν ἄλλων τὰ ἀνόπαια ἐξηγησάμενος τὸν τῆς πτήσεως τρόπον, ὃς διὰ τῆς αὐτῆς ταύτης ὀπῆς ἐγένετο, ἡρμήνευσεν.*

Ὀρσοθύρα.

Οὐ μόνον δὲ ἐκ τῆς ἐν τῷ μέσῳ τῆς ὀροφῆς ὑπαρχούσης ὀπῆς φῶς εἰς τὸ μέγαρον εἰσήρχετο, ἀλλὰ καὶ ἐκ τῆς θύρας καὶ τῶν θυρίδων. Καὶ περὶ μὲν τῆς θύρας ὕστερον ἐρῶ· θυρίδας δέ, οἵων γε ἐν τοῖς ἔμπροσθεν μνείαν ἐποιησάμην, ἐν τῇ ἀνδρωνίτιδι οὐχ εὑρίσκομεν, ἀλλ' ἀντ' αὐτῶν θύριόν τι, ὃ ὑπὸ μὲν Εὐσταθίου ἐν ταῖς φωταγωγοῖς τάσσεται[2], *ὑπὸ δὲ τοῦ ποιητοῦ ὀρσοθόρη καλεῖται*[3]. *Τὰ δὲ ἔπη, ἐξ ὧν σαφές τι περὶ ὀρσοθύρας μαθεῖν δυνάμεθα, τάδε ἐστίν*[4])

126 *ὀρσοθύρη δέ τις ἔσκεν ἐυδμήτῳ ἐνὶ τοίχῳ,*
27 *ἀκρότατον δὲ παρ' οὐδὸν ἐυσταθέος μεγάροιο*
28 *ἦν ὁδὸς ἐς λαύρην, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι.*
29 *τὴν δ' Ὀδυσεὺς φράζεσθαι ἀνώγει δῖον ὑφορβόν*
130 *ἑστεῶτ' ἄγχ' αὐτῆς· μία δ' οἴη γίγνετ' ἐφορμή.*
31 *τοῖς δ' Ἀγέλεως μετέειπεν, ἔπος πάντεσσι πιφαύσκων,*
32 *ὦ φίλοι, οὐκ ἂν δή τις ἀν' ὀρσοθύρην ἀναβαίη*
33 *καὶ εἴποι λαοῖσι, βοὴ δ' ὤκιστα γένοιτο;*

Ἔστι τοίνυν ἡ ὀρσοθύρα ἐπὶ ἑνὸς τῶν τῆς ἀνδρωνίτιδος τοίχων[5], *ἧς ἡ κάτω φλιὰ οὐ πρὸς τῇ γῇ, ἀλλ' ἐν ὕψει τοῦ τοίχου κεῖται, δι' ὅπερ τό τε ἀναβαίνειν περὶ αὐτῆς εἴρηται*[6] *καὶ ὁ οὐδὸς αὐτῆς ἀκρότατος καλεῖται*[7]. *Οὐ προσῆπται δὲ τῷ οὐδῷ ἡ γενικὴ ὀ ρ σ ο θ υ ρ η ς, ἀλλ' ἡ μ ε γ ά ρ ο ι ο, διότι ὁπόταν ὁ ποιητὴς μὴ τῷ μετουσιαστικῷ καλουμένῳ ἐπιθέτῳ εἰς δήλωσιν*

---

1) *Σχολ. ἐν Ὀδ. Α.* 320. *Μέγα Ἐτυμ. σελ.* 111, 19. *Ζωναρᾶ λεξ. σελ.* 187.
2) *Εὐστάθ. ἐν Ὀδ.* X. *σελ.* 1921, 22. 3) *Ὀδ.* X. 126, 132, 333. 4) *Ὀδ.* X.
5) 126. 6) 132. *πρβ. Εὐσταθ. ἐν Ὀδ.* X. *σελ.* 1921, 15. *Ἡσυχ. ἐν τῷ ὀνομ. ὀρσοθύρα. Φωτ. λεξ. σελ.* 300 ed. Pors. *Ἀπολλ. Σοφ. λεξ. σελ.* 122, 13. 7) 127.

τῆς τοῦ οὐδοῦ οὐσίας χρήσασθαι βούληται[1]), *γενικώτερον εἴωθεν αὐτὸν καλεῖν, λέγων οὐδὸν αὐλῆς ἢ αὔλειον*[2]), *οὐδὸν θαλάμοιο*[3]), *ὥσπερ καὶ ἐνταῦθα ἀντὶ τοῦ εἰπεῖν οὐδὸν ὀρσοθύρας οὐδὸν μεγάροιο εἴρηκεν. Ἐπὶ τίνος οὖν τῶν τεσσάρων τῆς ἀνδρωνίτιδος τοίχων ἡ ὀρσοθύρα ἦν; Πάντως δήπου ἐπὶ τοῦ ἑτέρου τῶν πλαγίων τοίχων καὶ δὴ παρὰ τῇ ἑτέρᾳ τῶν γωνιῶν τῶν ἐκ τοῦ ἑτέρου τῶν πλαγίων καὶ τοῦ τοίχου τῆς κοινῆς θύρας ἀποτελουμένων, ἔνθα καὶ ὁ κρατὴρ ἵδρυτο*[4]). *Ὁ δὲ Εὐστάθιος οὐκ ὀρθῶς βούλεται αὐτὴν κεῖσθαι ἐν δεξιᾷ τῷ ἐπὶ τῆς φλιᾶς ἱσταμένῳ καὶ τοξεύοντι Ὀδυσσεῖ*[5]). *Ὅλως δὲ διὰ ταύτην τὴν χώραν ἡ ὀρσοθύρα ὑπὸ τῶν παλαιῶν πλαγία θύρα ἐκαλεῖτο*[6]). *Ἀλλὰ ποῖ δὴ τῷ διὰ τῆς ὀρσοθύρας ἔξω τῆς ἀνδρωνίτιδος ἤδη γενομένῳ οἷόν τ᾽ ἦν ἰέναι; Οὐκ ἄλλοσέ ποι ἢ ἔνθεν μὲν τραπέντι, εἰς τὴν αὐλήν, ἑτέρωσε δέ, εἰς τὸν ὄπισθεν τῆς οἰκίας χῶρον. Εὐθὺς γὰρ ἀπὸ τῆς ὀρσοθύρας καταβάντι στενωπὸς ἦν, ὃς λαύρη ὑπὸ τοῦ ποιητοῦ κέκληται*[7]). *Ἥγε μὴν λαύρα ἀπὸ τῆς ἑτέρας τῶν ἔξω γωνιῶν τῆς οἰκίας εἰς τὴν ἑτέραν κατὰ μῆκος διήκουσα καὶ ἐκ τοῦ ἑτέρου τῶν τοῦ ἕρκους τοίχων καὶ τοῦ πρὸς τὸ ἔνδον παρακειμένου αὐτῷ τοίχου τῆς οἰκίας ἀποτελουμένη δύο ἐξόδους εἶχε, τὴν μὲν εἰς τὴν αὐλήν, τὴν δ᾽ ἑτέραν εἰς τὸν ὄπισθεν τῆς οἰκίας χῶρον, ὅθεν εἴσοδος εἰς τὰ ὄπισθεν κείμενα τῶν οἰκημάτων ἦν*[8]). *Καὶ ἡ μὲν εἰς τὴν αὐλὴν τῆς λαύρας ἔξοδος σανίσιν ἐπέφρακτο καὶ ὑπὸ τοῦ ὑφορβοῦ ἐφυλάσσετο, μή τις ἐκ τῆς ἀνδρωνίτιδος διὰ τῆς ὀρσοθύρας ἐξελθὼν κατὰ νώτου τοῖς περὶ τὸν Ὀδυσσέα ἐν τῇ αὐλῇ οὖσι γένοιτο*[9]). *Τοιγαροῦν κελεύοντος Ἀγελάου ἐξελθεῖν τινα διὰ τῆς ὀρσοθύρας καὶ τὸ πλῆθος παρακαλέσαι Μελάνθιός φησιν*

> *οὔ πως ἔστ᾽, Ἀγέλαε διοτρεφές· ἄγχι γὰρ αἰνῶς*
> *αὐλῆς καλὰ θύρετρα, καὶ ἀργαλέον στόμα λαύρης·*
> *καί χ᾽ εἷς πάντας ἐρύκοι ἀνήρ, ὅς τ᾽ ἄλκιμος εἴη*[10].

Πεποίηται δὲ καὶ ὁ ἀοιδὸς Φήμιος παρὰ τὴν ὀρσοθύραν μετὰ τὸν φόνον ἑστὼς καὶ σκεπτόμενος, ὁπότερον ποιῆσαι δέοι, εὐθὺ εἰς τὴν θύραν χωρῆσαι καὶ Ὀδυσσεῖ πρὸς τὰ γόνατα προσπε-

---

1) *πρβ.* Ἰλ. Θ. 15 Ὀδ. Ρ. 30. 339. Υ. 258. Φ. 43. 2) Ὀδ. Λ. 104. Η. 130. 3) Ἰλ. Ι. 582. Ὀδ. Δ. 718. 4) Ὀδ. Χ. 332—41. 5) *ἐν* Ὀδ. Χ. *σελ.* 1921, 18. 6) *Πολυδ. ὀνομ.* 1, 76. 7) 128. 8) Schol. Ambr. ed. Buttmann *ἐν* Ὀδ. Χ. 130. *σελ.* 541. 9) 128—30. 10) 136—38.

σεῖν ἢ ἀναβάντα τὴν ὀρσοθύραν καὶ εἰς τὴν αὐλὴν ἐξελθόντα ἱκέτην ἐπὶ τὸν βωμὸν καθίζεσθαι[1]). Ἡ δὲ ἑτέρα τῆς λαύρας ἔξοδος, ἡ εἰς τὸν ὄπισθεν τῆς οἰκίας χῶρον εἰσάγουσα, ἄφρακτος καὶ ἀφύλακτος, ὡς τὸ εἰκὸς ἦν, καὶ διὰ τοῦτο ὁ Μελάνθιος τὴν ὀρσοθύραν ἀναβὰς καὶ ἐξελθὼν χωρεῖ πρῶτον διὰ τοῦ στομίου τῆς λαύρας εἰς τὸν ὄπισθεν τῆς οἰκίας χῶρον, εἶτα δὲ διὰ τῆς διόδου ἀνὰ ῥῶγας μεγάροιο πορεύεται εἰς τὸν τῶν ὅπλων θάλαμον[2]).

Ἑκατέρα λαύρα.

Προσήκει δὲ οὐ μόνον κατὰ τὴν μίαν, ἀλλὰ καὶ κατὰ τὴν ἑτέραν τῆς οἰκίας πλευρὰν τοιαύτην λαύραν ὑπάρχειν. Καὶ γὰρ τὸν αὐτὸν μὲν τρόπον, ἀλλ' ἐκ τοῦ ἀντικειμένου μέρους πορεύεται αὖ ὁ Εὔμαιος καὶ ὁ Φιλοίτιος ἐκ τῆς αὐλῆς εἰς τὸν θάλαμον τῶν ὅπλων, ἐν ᾧ καταλαμβάνουσι τὸν Μελανθέα τὰ ὅπλα αὖθις ἐρευνῶντα[3]).

Κοινὴ θύρα.

Οὕτως οὖν τὰ τῆς ἀνδρωνίτιδος ἐν τοῖς ἔμπροσθεν διεξελθὼν νῦν τἆλλα τῆς οἰκίας μέρη ἐπισκέψομαι, ὡς ἕκαστα ἔχει. Καὶ μὴν ἡ θύρα, ἣ ἐκ τῆς ἀνδρωνίτιδος εἰς τὴν γυναικωνῖτιν ἄγει, ὁτὲ μὲν ἀπὸ τῆς ἀνδρωνίτιδος, ἐνίοτε δ' αὖ ἀπ' αὐτῆς τῆς γυναικωνίτιδος καλεῖται. Καὶ ἀπὸ μὲν τῆς ἀνδρωνίτιδος ἐπονομάζεται ἐν οἷσπερ ὁ ποιητὴς Ὀδυσσέα εἴρηκε πρὸ μὲν τοῦ φόνου τῶν μνηστήρων σὺν τοῖς οἰκέταις Εὐμαίῳ καὶ Φιλοιτίῳ βουλευσάμενον κελεῦσαι ἐκεῖνον μὲν ταῖς γυναιξὶν ἔνδον εἰπεῖν κληῖσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας, τοῦτον δὲ τὰς τῆς αὐλῆς[4])· μετὰ δὲ τὸν φόνον διὰ τῆς αὐτῆς θύρας ἀπὸ τῆς γυναικωνίτιδος εἰς τὴν ἀνδρωνῖτιν τὴν Εὐρύκλειαν μεταπέμψασθαι[5]). Ἐκ δὲ τῆς γυναικωνίτιδος καλεῖται ἐν οἷς Ὅμηρος πεποίηκε τετράκις μὲν Πηνελόπην ἐπὶ τῆς αὐτῆς θύρας ἑστῶσαν καὶ τοῖς ἐν τῇ ἀνδρωνίτιδι διαλεγομένην[6]), ἅπαξ δὲ τὴν Ναυσικᾶν[7]). Ἐπὶ πᾶσι δὲ τούτοις τοὔπος τόδε ἐπαναλαμβάνεται

στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο.

---

1) 330—7. 2) 142—45, πρβ. 161—2. 3) 178—1. 4) Ὀδ. Φ. 235—42. πρβ. 381—5. 5) Ὀδ. Χ. 390—400. πρβ. Ψ. 42—4. 6) Ὀδ. Α. 333. Π. 415. Σ. 209. Φ. 64. πρβ. Nitzsch, Anm. 1, σελ. 59—60. Hirt, Gesch. d. Bauk. 1, σελ. 212, § 11. 7) Ὀδ. Θ. 458.

Ἔνθα δὴ σταθμὸς μέν ἐστιν ἡ τῆς θύρας παραστάς, κἄπειτα δὲ αὐτὴ ἡ θύρα· τέγος δὲ ἡ τῆς γυναικωνίτιδος ὀροφὴ καὶ κατὰ συνεκδοχὴν ἡ γυναικωνῖτις[1]. *Καὶ ταῦτα ἱκανὰ ἂν ἦν, εἰ μὴ αὖθις ἑτέρους ἑώρων ἄλλως τὰ τῆς θύρας ἐξηγουμένους. Φασὶ γὰρ τόν τε σταθμὸν καὶ τὸ τέγος ἐπὶ κατασκευάσματός τινος τετάχθαι, ὃ πρὸ τοῦ κοινοῦ τοίχου καὶ τῆς θύρας ᾠκοδόμητο τοιόνδε που τὴν ἰδέαν. Ἀπὸ τοῦ ἑτέρου εἰς τὸν ἕτερον τῶν πλαγίων τοίχων στοῖχον ὅλον κιόνων εὐθὺς μετὰ τὴν ἐσχάραν καὶ παρὰ τὸν κοινὸν τοῖχον τιθέασι. Τοὺς μέντοι κίονας οὕτω διατιθέασιν, ὥστε τοὺς ἑκατέρωθεν καὶ ἐναντίον τῆς θύρας δύο ἱσταμένους· αὐτῶν τοσοῦτον ἀλλήλων ἀπέχειν, ὅσον τὸ τῆς θύρας εὖρός ἐστιν. Ὥσπερ οὖν ὁ κοινὸς τοῖχος εἰς δύο μέρη τῇ θύρᾳ διαιρεῖται, τὸν αὐτὸν τρόπον καὶ ὁ παράλληλος αὐτῷ στοῖχος τῶν κιόνων, ὧν τὸ μὲν ἐν δεξιᾷ, τὸ δὲ ἐν ἀριστερᾷ ἵδρυται. Μεταξὺ δὲ τῶν κιόνων καὶ τοῦ τοίχου ἑκατέρας μοίρας τὰς μεσόδμας, καθὰ αὐτοί γε βούλονται, εἰς ὕψος οἰκοδομοῦσι, κρεμάθραις ὁμοίας, αἳ τοσαύτην χώραν κενὴν κατὰ τὸ μέσον ἀπ' ἀλλήλων διαλείπουσιν, ὅσον αὖθις τό τε τῆς θύρας εὖρος καὶ τὸ διάστημα τῶν ἑκατέρωθεν αὐτῆς ἱσταμένων κιόνων. Ἐξ ἑκατέρου δ' αὖ τούτων τῶν κιόνων μέχρι τοῦ κοινοῦ τοίχου δύο πλάγια τοιχίδια ἔνθεν καὶ ἔνθεν κατὰ τὰς παραστάδας τῆς θύρας κατασκευάζουσιν, ὥστε προστῷόν τι κατὰ τὴν εἴσοδον ἀποτελεῖται. Καὶ τοιοῦτο μὲν τὸ ὅλον κατασκεύασμα, ὃ τ έ γ ο ς ὑπ' αὐτῶν καλεῖται. Τὰ δὲ μέρη αὐτοῦ μυχός, μέλαθρον, μεσόδμαι·* „*τέγος* aedificium illud craticii operis, cujus inferior pars apud Homerum *μυχὸς* usurpatur, superior *μέλαθρον* et in Ulixeis aedibus *μεσόδμας* utrimque affixas complectitur." *Σταθμοὺς δὲ καλοῦσι τοὺς ἑκατέρωθεν τῆς εἰσόδου τοῦ μυχοῦ ἢ προστῴου κίονας, μεθ' οὓς τὰ τοιχίδιά ἐστι. Ταῦτα δέ, ὥσπερ καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηταί μοι, τῇ γενικῇ τοίχου τοῦ ἑτέρου νοεῖσθαι βούλονται*[2]. *Ἔνδον οὖν, φασί, τοῦ προστῴου τούτου ἡ Πηνελόπη οὐ μόνον ἵστατο, ὁπότε ἐκ τοῦ ὑπερῴου καταβαίη καὶ τοῖς ἐν τῇ ἀνδρωνίτιδι εἰπεῖν τι βουληθείη, ἀλλὰ καὶ*

---

1) *ὅρα Εὐστάθ. ἐν Ὀδ. Α. σελ.* 1421, 1. *Ἡσυχ. ἐν τοῖς ὀνομ. τέγος, τέγη.* 2) Rumpf, altera pars comment. de aed. Hom. *σελ.* 36 *κ. ἑξῆς*, 80 *κ. ἑξῆς*. Winckler, die Wohnh. d. Hellenen, *σελ.* 35 *κ. ἑξῆς*. Ameis *ἐν Ὀδ. Σ. στιχ.* 150.

ὁπότ᾽ αὖ τῶν οἰκείων τινὶ καὶ τῶν ξένων διαλέγοιτο, ἐν αὐτῷ ἐκαθίζετο, καθάπερ καὶ ἡ Ἀρήτη τοῦτο ποιεῖν εἰώθει [1].

Νῦν δέ, οἵσπερ οὗτοι περὶ τοῦ μυχοῦ καὶ τοῦ σταθμοῦ καὶ τοῦ τέγους εἰρήκασι, βραχέα ἀντερῶ, τὰ δ᾽ ἄλλα ἄρρητα παρήσω. Συχνὸν Ὅμηρος ἐν τοῖς ποιήμασι μυχῶν μέμνηται. Ὅλως δὲ οὐδὲν ἕτερον οὗτοι δύνανται ἢ τὸ ἐνδοτάτω κείμενον καὶ ἔσχατον μέρος ἢ πέρας τοῦ δηλουμένου τῇ γενικῇ τοῦ ὅλου, ᾗπερ τοὔνομα ἀεὶ συντέτακται. Δηλοῦσι τοίνυν τοῦτο μὲν τὸν ἔσχατον τῶν θαλάμων, τοῦτο δὲ τὸ ἐνδοτάτω κείμενον μέρος τινὸς τῶν θαλάμων, οὐδέποτε δὲ χώραν τινὰ αὐτῶν κεκριμένην καὶ οὕτω κατεσκευασμένην, καθὰ δὴ βούλονται. Οὐδαμόθεν γὰρ τοῦτο δῆλον γίγνεται. Αὐτίκα γὰρ μυχὸς μὲν δόμου ὑψηλοῖό ἐστιν ὁ ἐν τῷ πέρατι τῆς οἰκίας θάλαμος, ἐν τῷ μυχῷ [2], *ἐν ᾧ οἱ ἄνδρες ταῖς γαμεταῖς γυναιξὶ συγκοιμῶνται* [3]· *τοιοῦτον θάλαμον καὶ ἐν τῇ Ἀχιλλέως σκηνῇ δεῖ νοεῖν* [4]· *μυχὸς δὲ θαλάμοιό ἐστι τὰ ἀπὸ τῆς εἰσόδου ἀποκείμενα μέρη τῶν θαλάμων, οἷόςπερ ὁ τῆς γυναικωνίτιδος* [5], *καὶ τοῦ θαλάμου τῶν ὅπλων* [6]. *Κατὰ ταῦτα τοίνυν καὶ μυχὸς μεγάρου, οὗ δὶς Ὅμηρος μέμνηται* [7], *οὐδὲν ἄλλο ἢ τὰ ἀπὸ τῆς ἔξωθεν εἰσόδου κείμενα ἔνδον μέρη τῆς ἀνδρωνίτιδος ἁπλῶς δηλοῖ. Τοιαῦτα δ᾽ ἂν εἴη μᾶλλον αἱ ἀντικείμεναι τῇ εἰσόδῳ γωνίαι, ὅποι οἱ μνηστῆρες κατέφυγον. Καίτοι γε εἴπερ ἐν τῇ ἀνδρωνίτιδι τοιοῦτος μυχὸς τῷ ὄντι ἦν, οἷόνπερ βούλονται, ἔπειτα πῶς οὐ χρὴ καὶ ἐν τοῖς ἄλλοις θαλάμοις, ἐφ᾽ ὧν συχνότερον τοὔνομα τέτακται, τοιαῦτα καὶ παραπλήσια κατασκευάσματα νοεῖν; Εἰ δὲ καὶ τοῦτο συμφαῖεν, βουλοίμην ἂν ἔγωγε καὶ τὴν αἰτίαν παρ᾽ αὐτῶν μαθεῖν, δι᾽ ἣν τοιαῦτα κατεσκευάζετο. Καὶ ταῦτα μὲν περὶ τοῦ μυχοῦ. Σταθμὸς δέ ἐστιν, ὅπου ἂν ἐπὶ τῆς θύρας τάσσηται, ἡ παραστάς* [8]. *Τὸ δὲ τέγος οὐ μόνον παρ᾽ Ὁμήρῳ, ἀλλ᾽ οὐδὲ παρὰ τοῖς ἄλλοις τῶν δοκίμων ποιητῶν καὶ συγγραφέων ἀρχὴν τέτακται ἐπὶ τοιούτου κατασκευάσματος, ὅγε ἐντὸς ἑτέρου οἰκήματος ᾠκοδόμητο. Τοῦτο γὰρ ἄντικρυς τῷ κυριωτάτῳ τοῦ ὀνόματος*

---

1) *ὅρα* Rumpf *αὐτόθι σελ.* 12 *κ. ἑξῆς, κ.* 79. 2) *πρβ. τὸ ἐν Ὀδ. Η.* 87. *„ἐς μυχὸν ἐξ οὐδοῦ“ καὶ* Fäsi *αὐτόθι.* 3) *Ὀδ. Γ.* 402. *Δ.* 304. *Η.* 346. 4) *Ἰλ. Ι.* 664. *Ω.* 675. 5) *Ἰλ. Ρ.* 36. *Ὀδ. Ψ.* 41. *πρβ. κ. Ἰλ. Χ.* 440. 6) *Ὀδ. Χ.* 180. *πρβ. Π.* 285. 7) *Ὀδ. Η.* 96. *Χ.* 270. 8) *Ἰλ. Ξ.* 167, 339. *Ὀδ. Δ.* 838. *Ζ.* 19. *Η.* 89. *Ρ.* 96. *Εὐστάθ. ἐν Ὀδ. Α. σελ.* 1421, 1. *Πολυδ. ὀνομ.* 1, 76. *Ἡσύχ. ἐν τῷ ὀνομ. σταθμοί.*

σημαινομένῳ ἀντίκειται. Σημαίνει δὲ τοὔνομα παρ᾽ Ὁμήρῳ καὶ τοῖς ὕστερον πρῶτον μὲν τὴν στέγην[1], *εἶτα δὲ κατὰ συνεκδοχὴν οἴκημα, καθὰ δὴ καὶ ἄλλα ἀνάλογα ὀνόματα, ὧν τοῦ μελάθρου μόνου ἐνταῦθα μνημονεύω. Ὅτι δ᾽ Ὅμηρος καὶ τὸ δεύτερον σημαινόμενον τοῦ τέγους οἶδε τάξας αὐτὸ ἐπὶ τῆς γυναικωνίτιδος δῆλον γίγνεται ἐκ τῶνδε. Ὥσπερ γὰρ ἡ Πηνελόπη τετράκις λέγεται μετὰ δυοῖν ἀμφιπόλων τῆς Αὐτονόης καὶ Ἱπποδαμείας ἵστασθαι παρὰ σταθμόν τέγεος πύκα ποιητοῖο*[2], *τὸν αὐτὸν τρόπον καὶ ἡ Ἑλένη πεποίηται ἐν μὲν τῷ Πάριδος ἀνακτόρῳ ἐκ θαλάμοιο ὁρμωμένη μετὰ τῶν ἀμφιπόλων Αἴθρης καὶ Κλυμένης*[3], *ἐν δὲ τῷ Μενελάου εἰς τὸ μέγαρον ἐρχομένη ἐκ θαλάμοιο θυώδεος ὑψορόφοιο καὶ ὑπὸ πολλῶν ἀμφιπόλων παρακολουθουμένη καὶ θεραπευομένη*[4]. *Ταῦτα οὖν τὰ παράλληλα μόνον οὐ φωνὴν ἀφίησιν, ὅτι τὸ τέγος ἐπὶ τῆς γυναικωνίτιδος τακτέον.*

Γυναικωνῖτις.

Μετὰ δὲ τὴν ἀνδρωνῖτιν δευτέρα ἡ γυναικωνῖτίς ἐστιν, ἣ διὰ μὲν τὸ μέγεθος πολλαχοῦ καὶ αὐτὴ ὑπὸ τοῦ ποιητοῦ μέγαρον καλεῖται[5], *διὰ δὲ τὴν χρῆσιν οἶκος ἰδίᾳ ἐπονομάζεται. Ἐν αὐτῇ γὰρ αἱ τῆς οἰκίας δέσποιναι μετὰ τῶν δμωῶν γυναικῶν τὴν ἡμέραν διέτριβον ἐργαζόμεναι*[6]. *Καὶ κατὰ μὲν τὴν χώραν καὶ τὴν χρῆσιν τῇ γυναικωνίτιδι τῶν μετὰ ταῦτα οἰκιῶν ἀκριβῶς ἀντιστοιχεῖ, ἥπερ θύρᾳ βαλανωτῇ ἀπὸ τῆς ἀνδρωνίτιδος ὥριστο, ἵνα μὴ αἱ ἔνδον ἐργαζόμεναι γυναῖκες ῥᾳδίως τοῖς ἄλλοις οἰκέταις κοινωνοῖεν*[7]· *ἐκ δὲ τῆς χρήσεως μόνης καλοῖτ᾽ ἂν ἁπλῶς οἶκος ταλασιουργικός*[8]. *Καὶ ταῦτα μὲν περὶ τῆς χώρας καὶ τοῦ ὀνόματος. Ὥσπερ δὲ ἐν τῇ ἀνδρωνίτιδι διὰ τὴν τῶν ἀνδρῶν διατριβὴν θρόνοι καὶ κλισμοὶ ὑπῆρχον*[9], *οὕτω καὶ ἐν τῇ γυναικωνίτιδι διὰ τὴν τῶν γυναικῶν πολλοὶ δίφροι, οἳ ταπεινότεραι τῶν θρόνων καὶ τῶν κλισμῶν ἕδραι ἦσαν*[10]. *Καὶ ἐν τοῖς ἐμ-*

---

1) Ὀδ. Κ. 559. Δ. 64. Θουκ. 4, 48, 2. Πολυδ. ὀνομ. 1, 81. Ἡσυχ. ἐν τῷ „τέγεος". Ἀπολλ. Σοφ. Ὁμ. λεξ. σελ. 151, 35. 2) Ὀδ. Α. 333—5. Π. 413—5. Σ. 209—11. πρβ. κ. 182—3. Φ. 44—6. 3) Ἰλ. Γ. 143—5. 4) Ὀδ. Δ. 121—27. 5) Ἰλ. Γ. 125. πρβ. 142. Ζ. 286. Χ. 460. πρβ. 440. Ὀδ. Τ. 60. Ϋ. 6. πρβ. Τ. 497. Υ. 396, 497. πρβ. Δ. 300 καὶ Η. 339. Ψ. 20, 24. 6) Ἰλ. Ζ. 490—1. Ὀδ. Α. 356—7. 360. Δ. 717—8. Τ. 514. Φ. 350—1. 354. Ψ. 292. 7) Ξεν. οἰκον. 9, 5. 8) Πολυδ. ὀνομ. 1, 80. 9) Ὀδ. Ρ. 86. 10) Ὀδ. Δ. 717.

πρόσθεν εἴρηταί μοι, ὅτι καὶ ἐν τοῖς θαλάμοις τῆς αὐλῆς αἱ δμωαὶ γυναῖκες εἰργάζοντο. Τί οὖν; καὶ τούτους φήσομεν τῇ γυναικωνίτιδι προσήκειν; Τῶν γε δήπου δμωῶν γυναικῶν αἱ μὲν ἦσαν παιδίσκαι, αἱ δὲ παρηβηκυῖαι ἤδη τὴν ἡλικίαν, νέαι ἠδὲ παλαιαί, ὥσπερ Ὅμηρος αὐτὰς καλεῖ[1]). Τούτων οὖν αἱ μὲν καθεστηκυῖαι τὰ δυσχερέστερα τῶν ἔργων καὶ πολὺν θόρυβον ποιοῦντα, οἷόνπερ τὸ ἀλεῖν, ἐν τοῖς θαλάμοις τῆς αὐλῆς ἔπραττον[2]). Αἱ δὲ παιδίσκαι καὶ ἀκμάζουσαι παιδεύσεώς τε ἕνεκα καὶ σωφροσύνης ἐν τῇ γυναικωνίτιδι κατέμενον ἐργαζόμεναι. Ἐνταῦθα γὰρ τὸ πρῶτον ὑπὸ τῆς Εὐρυκλείας, ἣ σκοπὸς δμωάων ἦν[3]), ἐπαιδεύοντο εἴριά τε ξαίνειν καὶ δουλοσύνην ἀνέχεσθαι[4]), καθάπερ ἐν τοῖς ὕστερον χρόνοις οἱ δοῦλοι τὰ ἐγκύκλια διακονήματα καλούμενα ἐν διδασκαλείῳ ἐμάνθανον[5]). Ἐκ τῆς γυναικωνίτιδος δ' αὖ καὶ ὅσαι αὐτῶν λάθρα τοῖς μνηστῆρσιν ἐμίγνυντο, νυκτὸς ἐξῄεσαν, ὅθεν δῆλον γίγνεται, ὅτι ἐν αὐτῇ ἐκοιμῶντο[6]). Δοκεῖ δέ μοι καὶ τὰς πυέλους, ἃς Ὅμηρος ἀσαμίνθους καλεῖ, ἐν τῇ γυναικωνίτιδι κεῖσθαι. Καίτοι δὲ οὐ φράζει σαφῶς τὸν τόπον, ἔνθα ἦσαν, ὅμως ὅσοι γε τῶν ἀφικνουμένων ξένων λοῦσθαι μέλλοιεν, εἰς τὸν ἐγγυτάτω τῇ ἀνδρωνίτιδι κείμενον θάλαμον φαίνονται μεταβαίνειν. Αὐτίκα ἡ μὲν ταμίη γυνὴ καθήμενον ἐν τῇ Ἀλκίνου ἀνδρωνίτιδι Ὀδυσσέα λούσασθαι κελεύει, ὁ δὲ ἀπελθὼν καὶ λουσάμενος ἔρχεται πάλιν εἰς τὴν ἀνδρωνῖτιν „ἐκ ῥ' ἀσαμίνθου βὰς ἄνδρας μέτα οἰνοποτῆρας ἤιε[7]). Καὶ ὁ Τηλέμαχος καὶ ὁ ξένος Θεοκλύμενος εἰς τὴν οἰκίαν ἀφικόμενοι πρῶτον μὲν τὰς χλαίνας ἐπὶ τῶν ἐν τῇ ἀνδρωνίτιδι κλισμῶν καὶ θρόνων κατέθεντο, εἶτα δὲ ἀπελθόντες καὶ ἐμβάντες εἰς τὰς ἀσαμίνθους ἐλούσαντο[8]). Ταὐτὰ δὲ τούτοις καὶ ἐν τῷ Μενελάου ἀνακτόρῳ περὶ Τηλεμάχου αὖθις καὶ Πεισιστράτου λέγεται[9]). Καίτοι γε ἡ γυναικωνῖτις ἰδίᾳ οἶκος λέγεται, ὅμως οὐχ ἡγοῦμαι καὶ ἐν οἷς Ὅμηρος Ὀδυσσέα πεποίηκε ὑπὸ τῆς Εὐρυνόμης λούμενον „ᾧ ἐνὶ οἴκῳ" [10]), ἐπὶ τῆς γυναικωνίτιδος τετάχθαι τοὔνομα, ἀλλ' εἰρῆσθαι ἐπὶ τοῦ οἴκου καθόλου. Διὰ ταύτην οὖν τὴν χρῆσιν ἡ γυναικωνῖτις ἀνώνυμος μᾶλλον ἂν εἴη. Ἐν δὲ τῇ ἀνδρωνίτιδι οὐ μόνον τὰς χεῖρας ἀλλὰ καὶ τοὺς

1) Ὀδ. Δ. 720. 2) Ὀδ. Υ. 105—10. 3) Ὀδ. Χ. 396. 4) Ὀδ. Χ. 420—3. 5) Ἀριστοτέλ. Πολιτ. 1, 7, 7. 6) Ὀδ. Υ. 6—8. Fäsi [Kayser] αὐτόθι. 7) Ὀδ. Θ. 456—57. 8) Ὀδ. Ρ. 85—90. 9) Ὀδ. Δ. 48—51. 10) Ὀδ. Ψ. 153.

πόδας ἔστιν ὅτε ἐνίζοντο[1]· ἐν γὰρ τῷ τοιούτῳ ἀνάγκη οὐκ ἦν γυμνοῦσθαι. Ἕτεροι δὲ τοὺς λουτῆρας οὐκ ἐν τῇ γυναικωνίτιδι, ἀλλ' ἔν τινι τῶν θαλάμων τοῦ προδόμου κεῖσθαι βούλονται[2]. Ὁμήρου δὲ οὐδὲν ἐν τοῖς ποιήμασιν εἰρηκότος, ὡς ἔνδον ἡ γυναικωνῖτις κατεσκεύαστο, ἀνάγκη ἀπὸ τῆς ἀνδρωνίτιδος κατ' ἀναλογίαν τὰ περὶ τούτου εἰκάζεσθαι. Ἡγούμενος τοίνυν τὴν γυναικωνῖτιν δευτέραν εἶναι τῆς ἀνδρωνίτιδος τὸ μέγεθος οὐ πλείους τῶν τεσσάρων κιόνων ἐν αὐτῇ τίθημι, ὧν αὖ σύνδυο ἑκατέραν τῶν μεσοδμῶν ἀνέχουσιν, ὥσπερ καὶ ἐν τῇ ἀνδρωνίτιδι.

Ὑπερῷον.

Ἀπὸ δὲ τῆς γυναικωνίτιδος φέρει ἄνω κλῖμαξ ἐπὶ μετέωρον οἴκημα, ὃ ὑπερῷον καλεῖται. Τοιγαροῦν συχνὸν ἡ Πηνελόπη πεποίηται καταβαίνουσα ἐξ αὐτοῦ καὶ πάλιν ἀναβαίνουσα εἴτε μόνη εἴτε μετὰ τῶν ἀμφιπόλων γυναικῶν[3]. Φαίνεται δὲ ἡ κλῖμαξ κεῖσθαι κατὰ τὴν ἑτέραν τῶν γωνιῶν τοῦ τοίχου, ἐφ' οὗ ἡ κοινὴ θύρα ἦν ἡ ἄγουσα εἰς τὴν ἀνδρωνῖτιν. Τῆς γὰρ Πηνελόπης ἐν τῷ ὑπερῴῳ κοιμωμένης καὶ τῆς νυκτὸς ἐπεγερθείσης καὶ καθημένης ἐπὶ τῆς κλίνης καὶ θρηνούσης, ἕως ἡμέρα ὑπεφάνη, Ὀδυσσεύς, ὃς ἐν τῷ προδόμῳ ἐκάθευδε, πρῳ ἀναστὰς ᾔσθετο[4]. Καὶ τοῦ ἀοιδοῦ Φημίου ᾄδοντος ἐν τῇ ἀνδρωνίτιδι ἡ Πηνελόπη ἐκ τοῦ ὑπερῴου ἀκούει[5]. Ἵνα οὖν ἡ μὲν Πηνελόπη ἄνωθεν ἐκ τοῦ ὑπερῴου τῶν ἐν τῇ ἀνδρωνίτιδι γιγνομένων, ὁ δὲ Ὀδυσσέος κάτωθεν ἐκ τοῦ προδόμου τῶν ἐν τῷ ὑπερῴῳ θρήνων τῆς γυναικὸς ἀκούειν δύναιτο, δῆλον, οἶμαι, ὅτι ἥ τε κλῖμαξ καὶ τὸ στόμα τῆς καταρρακτῆς θύρας, δι' οὗ ἡ φωνὴ διήρχετο, ὡς οἷόν τε ἐγγύτατα τῇ ἀνδρωνίτιδι ἦν. Ἔοικε δὲ πολλαχοῦ καὶ ἡ εἰς τὴν ἀνδρωνῖτιν εἴσοδος μετὰ τὴν ἐκ τοῦ ὑπερῴου διὰ τῆς κλίμακος κατάβασιν εὐθὺς γίγνεσθαι, ὥςπερ καὶ τοὐναντίον[6]. Ἔστι δὲ τὸ ὑπερῷον δωμάτιον τῇ γυναικωνίτιδι παρόμοιον ἢ ὥσπερ ἂν τις ἄλλως εἴποι, συνέχεια αὐτῆς. Κἀνταῦθα γὰρ γυναῖκες διῃτῶντο, οὐ μὴν πᾶσαι, ἀλλ' αὗται αἱ τοῦ οἴκου κόραι καὶ αἱ δέσποιναι. Ἐν αὐτῷ γοῦν διῃτᾶτο ἡ

---

1) Ὀδ. Τ. 386—9. 2) ὅρα Rumpf, de aed. Hom. 1, σελ. 27. Nitzsch, Anm. 1. σελ. 236. Fäsi ἐν Ὀδ. Δ. 48. 3) Ὀδ. Α. 328—31. 362. Δ. 751, 760. Π. 449. Σ. 206—7, 302—3. Τ. 600—2. πρβ. Εὐστάθ. ἐν Ὀδ. Α. 1420, 28. 4) Ὀδ. Υ. 57—92. 5) Ὀδ. Α. 328. 6) Ὀδ. Α. 330—4. Σ. 206—9. πρβ. 302 καὶ Τ. 600—1.

αἰδοίη παρθένος Ἀστυόχη ἡ τοῦ Ἄκτορος, καὶ ἡ καλὴ Πολυμήλη ἡ τοῦ Φύλαντος[1]), ἀπόντος δὲ τοῦ Ὀδυσσέως καὶ ἡ Πηνελόπη ἐν τῷ ὑπερῴῳ οὐ μόνον καθεύδει μετὰ τῶν ἀμφιπόλων γυναικῶν[2]), ἀλλὰ καὶ ὑφαίνει[3]). Δοκεῖ δέ μοι τὸ ὑπερῷον ἀκριβῶς ἐπὶ τῇ στέγῃ τῆς γυναικωνίτιδος κεῖσθαι, ὥστε ἀμφότερα μὲν ὅλον διῆρες οἴκημα ἀποτελεῖν, τὸ ἄνω ἴσον τῷ κάτω ἔχον, αὐτὸ δὲ τὸ ὑπερῷον μονῆρες καὶ μετέωρον πολὺ τῆς στέγης προέχειν[4]). Ἔν γε μὴν τῷ Πριάμου ἀνακτόρῳ, ὥςπερ ἐν τοῖς ἔμπροσθεν εἴρηκα, ἀντὶ τοιούτου ὑπερῴου ἦσαν θάλαμοι ἐπὶ τῆς στέγης τῆς ἀνδρωνίτιδος ᾠκοδομημένοι, ἐν οἷς οἱ τοῦ βασιλέως γαμβροὶ μετὰ τῶν γαμετῶν γυναικῶν ἐκοιμῶντο. Καὶ ὅπως μὲν ἔνδον διετέτακτο, οὐδὲν ἴσμεν· σιγαλόεν δ' ἁπλῶς ὑπὸ τοῦ ποιητοῦ ἐπονομάζεται διὰ τὸ ποικίλμασι ἢ γραφαῖς τοὺς τοίχους κεκοσμῆσθαι[5]).

Θάλαμος ὅπλων καὶ θησαυρός.

Μετὰ δὲ τὴν γυναικωνῖτιν δύο ὅμοιοι ἀλλήλοις τὴν χρῆσιν θάλαμοι κεῖνται, ὁ τῶν ὅπλων καὶ τὸ ταμιεῖον ἢ ὁ θησαυρός, οἵπερ καὶ τὸ πέρας τῆς ὅλης οἰκίας ἀποτελοῦσι· καλοῦνται δ' ἁπλῶς θάλαμοι[6]). Καὶ ὅτι μὲν εὐθὺς μετὰ τὴν γυναικωνῖτιν κεῖνται, ἐξ ἧς θύρα εἰς αὐτοὺς ἄγει, τεκμαίρομαι ἐκ τῶνδε. Πρῶτον μὲν γὰρ κομίσαντος τοῦ Μελανθέως διὰ τῆς ὀρσοθύρας ὅπλα τοῖς μνηστῆρσιν εἰς τὴν ἀνδρωνῖτιν, Ὀδυσσεὺς πρὸ τῆς θύρας ἑστὼς καὶ ἀγνοῶν, ὅστις αὐτὰ ἐκόμισε, φησί

> Τηλέμαχ', ἦ μάλα δή τις ἐνὶ μεγάροισι γυναικῶν
> νῶιν ἐποτρύνει πόλεμον κακόν[7]).

Εἴπερ ουν ὁ θάλαμος, εἰς ὃν πρὸ τοῦ φόνου Ὀδυσσεὺς καὶ Τηλέμαχος τὰ ὅπλα ἐκεκομίκεσαν[8]), μὴ μετὰ τὴν γυναικωνῖτιν ἔκειτο καὶ διὰ θύρας αὐτῇ ἐκοινώνει, εὔδηλον, ὡς οὐκ ἂν Ὀδυσσεὺς τὰς γυναῖκας ὑπώπτευεν, ἃς πρὸ τοῦ φόνου ἐν τῇ γυναικωνίτιδι κατέκλεισαν καὶ μετ' αὐτὸν πάλιν ἐξήγαγον[9]).

---

1) Ἰλ. Β. 514. Π. 184. 2) Ὀδ. Α. 362—4. Β. 356. Δ. 787—8. Π. 449 —51. Τ. 600 καὶ ἑξῆς. 3) Ὀδ. Ο. 515—7. πρβ. Β. 94. Τ. 139. Ω. 129. 4) ὅρα Winckler, die Wohnh. d. Hell., σελ. 56. 5) Ὀδ. Π. 449. Σ. 206. Τ. 600. Χ. 428. Schol. Ambr. ed. Buttm. ἐν Ὀδ. Π. 449. σελ. 475. Ἡσυχ. ἐν τῷ ὀνομ. σιγαλόεν. ὅρα καὶ ἐπιμέτρον σημ. ε. 6) Ὀδ. Χ. 143 πρβ. Τ. 17 καὶ Φ. 42. 7) Ὀδ. Χ. 151—2. 8) Ὀδ. Π. 284—5. Τ. 4—5, 17 καὶ 31—4. πρβ. Χ. 139—41. 9) Ὀδ. Φ. 381—7. πρβ. Χ. 394, 399, 438—47.

Εἶτα δὲ ἡ Πηνελόπη ἐγερθεῖσα ἐκ τῆς ἐν τῇ γυναικωνίτιδι ἕδρας ἀναβαίνει πρῶτον εἰς τὸ ὑπερῷον, ὅθεν λαμβάνει τὴν κλεῖδα, μετὰ δὲ τοῦτο καταβᾶσα καὶ διὰ τῆς γυναικωνίτιδος εἰς τὸ ταμιεῖον πορευθεῖσα λαμβάνει τὸ τόξον καὶ φέρει τοῖς ἐν τῇ ἀνδρωνίτιδι μνηστῆρσιν[1]*). Ὅτι δ᾽ αὖ ἀμφότεροι οἱ θάλαμοι ἐν τῷ πέρατι τῆς οἰκίας ἔκειντο, καὶ τοῦτο εὔδηλον. Ὁ μὲν γὰρ θησαυρὸς διαρρήδην ἔσχατος ἐπονομάζεται*[2]*), ὁ δὲ τῶν ὅπλων οὐδὲν μὲν τοιοῦτον λέγεται, ἐνθυμούμενος μέντοι ὡς Τηλέμαχος καὶ Μελάνθιος, ὁ μὲν ἐκ τῆς αὐλῆς, ὁ δὲ ἐκ τῆς ἀνδρωνίτιδος, ἑκάτερος δ᾽ αὖ διὰ τῶν ἀλλήλαις ἀντικειμένων λαυρῶν εἰς τὸν ὄπισθεν τῆς οἰκίας χῶρον, εἰς τὸν μυχόν, ἐλθόντες καὶ διὰ τῆς διόδου εἰσελθόντες ὅπλα ἐξ αὐτοῦ ἐκόμισαν*[3]*), καὶ τοῦτον ἐν τῷ πέρατι τῆς οἰκίας τίθημι. Καὶ ὅπου μὲν οἱ θάλαμοι οὗτοι ἔκειντο, εἴρηται· ὡς δὲ καὶ διατεταγμένοι κατὰ τὸ πέρας τῆς οἰκίας ἦσαν, τοῦτο νῦν εἰρήσεται. Δοκεῖ μοι τοίνυν ἐπὶ τοῦ τοίχου τῆς γυναικωνίτιδος, ὃς ἐναντίον τῆς ἐκ τῆς ἀνδρωνίτιδος εἰσόδου κεῖται θύραν ὑπάρχειν, ἄγειν δὲ αὐτὴν μὴ εὐθὺς εἰς τὸν ἕτερον τῶν θαλάμων, ἀλλ᾽ εἰς στενὴν δίοδον προθύρῳ ὁμοίαν καὶ τελευτῶσαν εἰς ἑτέραν θύραν, ἣ ἔξω εἰς τὸν ὄπισθεν τῆς οἰκίας καὶ τῆς αὐλῆς χῶρον φέρει. Τῆς δὲ εἰσόδου ταύτης ἑκατέρωθεν οἱ θάλαμοι κείμενοι, ὁ μὲν ἐν δεξιᾷ τῷ ἐκ τῆς γυναικωνίτιδος ἐξιόντι, ὁ δὲ ἐν ἀριστερᾷ, καὶ τὰς εἰσόδους ἀλλήλαις ἀντικειμένας ἐν αὐτῇ εἶχον. Ὡς οὖν ἀπὸ τῆς θύρας τῆς γυναικωνίτιδος τὴν δίοδον ἀρχομένην ῥῶγας μεγάροιο Ὅμηρος αὐτὴν καλεῖ*[4]*)· οὐ γὰρ μόνον τὴν ἀνδρωνῖτιν, ἀλλὰ καὶ τὴν γυναικωνῖτιν πολλάκις μέγαρον ἐπονομάζει. Τὸ δὲ ὄνομα ῥὼξ ἐν τῇ καθ᾽ ἡμᾶς τῶν Ἑλλήνων φωνῇ ῥούγα λεγόμενον καὶ νῦν ἔτι τὸ ἀρχαῖον σημαινόμενον ἔχον διατελεῖ· ἀεὶ γὰρ ἐπὶ βραχείας καὶ στενῆς διόδου τάσσεται. Αἱ δὲ τῶν ἑρμηνευτῶν περὶ τῶν ῥωγῶν γνῶμαι πολλαὶ καὶ παντοδαπαὶ καὶ πρὸς ἀλλήλας ἀντίπαλοί εἰσι. Καὶ τῶν μὲν παλαιῶν συγκεφαλαιοῦνται, ἐν οἷς Ἡσύχιος ἐν τῷ λεξικῷ φησι· „ῥῶγας· οἱ μὲν τὴν ὀρσοθύραν, οἱ δὲ τὴν ἐκτομάδα, οἱ δὲ τὰς θυρίδας, ἄλλοι τὰς κλίμακας καὶ αὐτοὺς τοὺς βαθμοὺς τῶν κλιμάκων“*[5]*). Τῶν δὲ νεωτέρων οἱ*

---

1) Ὀδ. Υ. 387—9. Φ. 5—65. 2) Ὀδ. Φ. 9. 3) Ὀδ. Χ. 109—12. καὶ 142—6. 4) Ὀδ. Χ. 143. 5) Ἡσυχ. ἐν λ. ῥῶγας. λεξ. Ἀπολλ. Σοφιστ. σελ. 139, 24. Εὐστάθ. ἐν Ὀδ. Χ. 1922, 3. Schol. Ambr. σελ. 542.

μὲν ἄλλως τὰς μεσόδμας νοοῦντες βούλονται ῥῶγας εἶναι τὸν ὑπ' αὐταῖς ὑπάρχοντα στενὸν χῶρον, ὃς δίοδον μεταξὺ δύο ἐν τοῖς πέρασι κειμένων θυρῶν ἀποτελεῖ[1]· οἱ δ' ἄλλοι πάντες ἀπρὶξ τῶν γνωμῶν τῶν παλαιῶν ἔχονται, ὁ μὲν ταύτης, ὁ δ' ἐκείνης. Καὶ ὅσα μὲν κοινὰ ἀμφοτέροις τοῖς θαλάμοις, εἴρηται· ἃ δὲ περὶ ἑκατέρου αὐτῶν ἴσμεν, τάδε ἐστί. Θάλαμος ὅπλων ἐν μόνῳ τῷ Ὀδυσσέως ἀνακτόρῳ μνημονεύεται· οὐδὲν μέντοι κωλύει καὶ ἐν τοῖς ἄλλοις τοιοῦτον ὑπάρχειν. Τὴν δὲ ὀροφὴν αὐτοῦ εἷς μόνος κίων ὑπερείδει ἐν τῷ μέσῳ ἱστάμενος[2]. Πλείους δὲ ἐν αὐτῷ εἶναι οὐχ ἡγοῦμαι· τὴν γὰρ γυναικωνῖτιν, ἐν ᾗ τέσσαρας κίονας ἔθηκα, διπλασίαν τὸ μέγεθος ἀμφοτέρων τῶν θαλάμων νομίζω· εἰκὸς ἄρα ἐν ἑκατέρῳ αὐτῶν ἕνα κίονα εἶναι. Τῶν δὲ ὑπαρχόντων ἐν τῷ θαλάμῳ ὅπλων ὁ μὲν Τηλέμαχος τέσσαρα σάκεα καὶ ὀκτὼ δόρατα καὶ τέσσαρας κυνέας ἐκομίσατο[3]), ὁ δὲ Μελάνθιος τὸ μὲν πρῶτον δώδεκα σάκεα καὶ τοσαῦτα δόρατα καὶ ἑτέρας τοσαύτας κυνέας, ὕστερον δὲ τρυφάλειαν καὶ κυνῆν ἀποκομίζων ὑπὸ τῶν ἄλλων οἰκετῶν κατελήφθη[4]). Ἀτόπως δὲ πάνυ ἔνιοι βούλονται τὰ ὅπλα οὐκ ἐν τούτῳ τῷ θαλάμῳ, ἀλλ' ἔν τινι τοῦ ὑπερῴου χώρᾳ κεῖσθαι[5]). Θησαυρὸς δὲ ἐν πᾶσι σχεδὸν τοῖς ἀνακτόροις πεποίηται. Ἡ γοῦν Ἑκάβη καὶ ὁ Πρίαμος εἰσέρχονται εἰς τὸν θησαυρὸν τῶν ἀνακτόρων, ἐν ᾧ ἦσαν πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν Σιδονίων, καὶ ἄλλα πολλὰ κειμήλια. Καὶ ἡ μὲν Ἑκάβη λαμβάνει τὸν κάλλιστον τῶν πέπλων δῶρον τῇ Ἀθηνᾷ, ὁ δὲ Πρίαμος ἐκ τῶν φωριαμῶν πολὺ πλῆθος ἐσθῆτος καὶ σκευῶν, οἷς τὸν Ἕκτορος νεκρὸν λύσασθαι ἔμελλε[6]). Πρὸς δὲ τούτοις καὶ ὁ Μενέλαος καὶ ἡ Ἑλένη πεποίηνται τὰ κάλλιστα τῶν ἐν τῷ θησαυρῷ κειμένων κειμηλίων λαμβάνοντες καὶ δῶρα τῷ Τηλεμάχῳ ἀποκομίζοντες[7]). Καὶ αὐτὸς δ' αὖ ὁ Τηλέμαχος λέγεται ἐκ τοῦ ταμιείου τῆς πατρῴας οἰκίας ἐφόδια λαβεῖν. Ἡ δὲ πληθὺς καὶ ἡ ποικιλία τῶν ἐν αὐτῷ ὑπαρχόντων πραγμάτων οὐ μικρὸν ξενίζει· οὐ γὰρ μόνον χρυσὸς καὶ χαλκὸς καὶ ἐσθὴς ἐν αὐτῷ ἦν, ἀλλὰ καὶ εὐῶδες ἔλαιον καὶ πολλοὶ πίθοι παλαιοῦ οἴνου καὶ ἄλφιτα. Καὶ οἴνου μὲν ἀμφορεῖς δώδεκα, ἀλφίτων δὲ εἴκοσι

1) Rumpf, alt. pars Comm. σελ. 47—45. Winckler σελ. 39. 2) Ὀδ. X. 176. 193. 3) Ὀδ. X 110—11. 4) Ὀδ. X. 144—5, 183—4. 5) Friedreich Realien σελ. 305. 6) Ἰλ. Z. 288 κ. ἑξῆς. Ω. 191 κ. ἑξῆς. 7) Ὀδ. Ο. 99 κ. ἑξῆς.

μέτρα ἐφόδια ἀποκομίζονται[1]). Οὐ μὴν ἀλλὰ καὶ τὸ Ὀδυσσέως τόξον, ὃ λαβοῦσα ἡ Πηνελόπη φέρει τοῖς ἐν τῇ ἀνδρωνίτιδι μνηστῆρσιν ἐν τῷ θησαυρῷ τούτῳ μετὰ τῶν ἄλλων κειμηλίων ἐφυλάσσετο[2]). Ὁμήρου δὲ ἐπὶ τῶν εἰσιόντων εἰς τὸν θησαυρὸν τῷ καταβαίνειν χρησαμένου[3]) ἔνιοι μὲν ὑπειλήφασι τὸ ἔδαφος αὐτοῦ βαθύτερον τοῦ τῶν ἄλλων θαλάμων ὑποκεῖσθαι καὶ διὰ τοῦτο κατάβασιν εἰς αὐτὸν διά τινων βαθμίδων γίγνεσθαι, ἔνιοι δὲ καὶ ὅλον τὸν θάλαμον ὑπὸ τὴν οἰκίαν ἐν τῇ γῇ ᾠκοδομῆσθαι[4]). Ἐμοὶ δὲ οὐ δοκεῖ χρήσασθαι διὰ τοῦτο τῷ καταβαίνειν, ἀλλὰ μᾶλλον διὰ τὸν οὐδόν, ὅς ὀλίγῳ ὑψηλότερος τῶν ἄλλων οὐδῶν ἦν, ὥστε τοὺς εἰσιόντας καὶ ἀναβαίνειν καὶ καταβαίνειν ἔδει. Τοιγαροῦν περὶ τῆς Πηνελόπης εἰς τὸν θάλαμον τοῦτον εἰσιέναι βουλομένης ὁ ποιητὴς εἴρηκε τὸ οὐδόν τε δρύϊνον προσεβήσετο[5]).

Θάλαμος Ὀδυσσέως.

Οὕτω μὲν δὴ τὸν περὶ τῶν θαλάμων τούτων λόγον ἐνταῦθα περάνας πρὸς αὐτὸ τὸ τῆς οἰκίας τέλος ἀφῖγμαι. Ὑπολείπεται δέ μοι ἔτι βραχέα εἰπεῖν καὶ περὶ ἑτέρου θαλάμου, ὃν αὐτὸς ὁ Ὀδυσσεὺς πάνυ περιέργως ᾠκοδόμησε. Τούτου οὖν ἕνεκα ἐν τῷ ἀναγνωρισμῷ πεποίηται ἀντὶ ἄλλων συμβόλων τὰ τῆς κατασκευῆς αὐτοῦ τῇ γυναικὶ ὧδε ἀφηγούμενος

θάμνος ἔφυ τανύφυλλος ἐλαίης ἕρκεος ἐντός,
ἀκμηνὸς θαλέθων· πάχετος δ' ἦν ἠύτε κίων.
τῷ δ' ἐγὼ ἀμφιβαλὼν θάλαμον δέμον, ὄφρ' ἐτέλεσσα,
πυκνῇσι λιθάδεσσι, καὶ εὖ καθύπερθεν ἔρεψα,
κολλητὰς δ' ἐπέθηκα θύρας, πυκινῶς ἀραρυίας.
καὶ τότ' ἔπειτ' ἀπέκοψα κόμην τανυφύλλου ἐλαίης,
κορμὸν δ' ἐκ ῥίζης προταμὼν ἀμφέξεσα χαλκῷ
εὖ καὶ ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνα,
ἑρμῖν' ἀσκήσας, τέτρηνα δὲ πάντα τερέτρῳ.
ἐκ δὲ τοῦ ἀρχόμενος λέχος ἔξεον, ὄφρ' ἐτέλεσσα,
δαιδάλλων χρυσῷ τε καὶ ἀργύρῳ ἠδ' ἐλέφαντι[6]).

Ἔστι τοίνυν ὁ θάλαμος οὗτος κοιτών, ἔξω μὲν τοῦ οἴκου κείμενος, ἐντὸς δὲ του ἕρκους· καὶ γὰρ περὶ τὴν ἐλαίαν ᾠκοδό-

1) Ὀδ. Β. 337 κ. ἑξῆς. 2) Ὀδ. Φ. 8 κ. ἑξῆς. 3) Ἰλ. Ζ. 288. Ω. 191. Ὀδ. Β. 337. Ο. 99. 4) Nitzsch, Anm. 1, σελ. 112. Friedreich Realien 2. Heft σελ. 306. A. Hirt, Gesch. d. Baukunst, 1 σελ. 215 § 12. Krause, Deinokrates σελ. 500. Winkler, die Wohnh. der Hell. σελ. 54 κ. ἑξῆς. 5) Ὀδ. Φ. 43, πρβ. Fäsi ἐν. Ὀδ. Β. 337. 6) Ὀδ. Ψ. 190—200.

μηται· ἡ δὲ ἐλαία ἐντὸς τοῦ ἕρκους ἦν. Μονήρης ἄρα καὶ αὐτός ἐστιν, ὥσπερ ὁ τοῦ Τηλεμάχου, ὅς ἐν τῇ αὐλῇ ἔκειτο. Ἀλλὰ ποῦ δὴ τοῦ ἕρκους ἡ ἐλαία καὶ ὁ περὶ αὐτὴν ὕστερον οἰκοδομηθεὶς θάλαμος ἦν; Ἴσως ἄν τις εἴποι τῇ ἐλαίᾳ χρώμενος τεκμηρίῳ, ὡς ἐν τῷ ὄπισθεν τῆς οἰκίας χώρῳ ἵδρυτο, ἔνθα καὶ ὁ κῆπος ἦν ὁ τὴν ἐλαίαν σὺν ἄλλοις δένδρεσι περιέχων· ἐνταῦθα γὰρ καὶ ἐν τοῖς ὕστερον χρόνοις οἱ τῶν οἰκιῶν κῆποι κατεσκευασμένοι ἦσαν[1]*. Καὶ ταῦτα μὲν ἴσως οὐκ ἀπίθανα, εἴτις μάλιστα βούλεται τὸν τῆς Πηνελόπης πολυδένδρεον κῆποὶ ἐν τούτῳ τῷ τόπῳ τιθέναι*[2] *καὶ μὴ ὥσπερ τὸν Ἀλκίνου ἔξω τοῦ ἕρκους*[3]*. Ἀσφαλέστερον μέντοι, ὡς ἔμοιγε δοκεῖ, ἡ χώρα τοῦ θαλάμου τούτου δείκνυται ἐξ ὧν ἐν τοῖς ἔμπροσθεν περὶ τῶν ἐν τῷ μυχῷ τοῦ δόμου κειμένων θαλάμων τῶν ἄλλων ἀνακτόρων εἴρηκα. Ἀνάλογος γὰρ καὶ ὁ τοῦ Ὀδυσσέως ἐκείνοις ὢν ἐν τῇ αὐτῇ χώρᾳ, ἐν τῷ μυχῷ, πάντως ᾠκοδόμηται.*

Μυχός. σταθμός.

Μυχὸς δὲ δόμου ἐστίν, ὥςπερ προείρηκα, ὁ μετὰ τὴν οἰκίαν ὀπίσθιος τοῦ ἕρκους χῶρος ἀντιτιθέμενος τῷ προσθίῳ, ὅς τὴν αὐλὴν καλουμένην ἐποίει. Δοκεῖ δέ μοι καὶ τὸν ἱππῶνα, ἔνθα αἱ φάτναι ἦσαν, ὄπισθεν τοῦ Ὀδυσσέως θαλάμου κατὰ τὸ πέρας τοῦ μυχοῦ κατεσκευάσθαι[4]*· καὶ τοὺς χῆνας δὲ ἐνταῦθά που ἔν τινι οἰκίσκῳ τρέφεσθαι*[5]*, οἳ Πηνελόπῃ ἐν ὀνείρῳ ἔδοξαν ὑπὸ τοῦ ἀετοῦ τοὺς αὐχένας ἀποτμηθῆναι. Ἕτεροί γε μέντοι τὸν σταθμὸν ἐν τῇ αὐλῇ εὐθὺς κατὰ τὸ ἔνδον τοῦ προσθίου τοίχου καὶ πρὸ τῆς αἰθούσης κεῖσθαι βούλονται, οὐκ ὀρθῶς ὥςγε ἐμοὶ φαίνεται*[6]*. Πρῶτον μὲν γὰρ οὐδαμόθεν τοῦτο ἀποδεῖξαι δύνανται· εἶτα τοῦ μυχοῦ ὑπάρχοντος, ἄτοπον τοιαῦτα ἐν τῇ αὐλῇ καὶ μάλιστα κατὰ τὸ πρόθυρον, ὅπου συνήθως διέτριβον, οἰκοδομεῖν. Πρὸς δὲ τούτοις πολλῷ βραχυτέρας οὔσης τῆς τοῦ μυχοῦ ἀποστάσεως ἀπὸ τοῦ ὑπερῴου, ὅθεν περ ἐννοεῖν δεῖ, ὅτι ἡ Πηνελόπη ἐν τῷ ὀνείρῳ εἶδε διά τινος τῶν θυρίδων τούς χῆνας τοιαῦτα παθόντας*[7]*, εἰκὸς τὸν σταθμὸν ἐν τῷ μυχῷ τιθέναι.*

---

1) Winckler, *σελ.* 140. 2) *Ὀδ. Δ.* 737. Hirt, Gesch. d. Bauk. *σελ.* 215. Winckler *σελ.* 57. 3) *Ὀδ. Η.* 112 *κ. ἑξῆς.* 4) *Ἰλ. Θ.* 434. *Ὀδ. Δ.* 39—41. 5) *Ὀδ. Τ.* 536. 6) Hirt, G. d. Bauk. *σελ.* 120. Rumpf, 1. *σελ.* 19. Friedreich, Real. *σελ.* 302. 7) *ὅρα* Fäsi [Kayser] *ἐν Ὀδ. Τ. στίχ.* 540.

Στέγη.

Ἑπόμενον δ' ἂν εἴη τοῖς εἰρημένοις βραχέα ἔτι περὶ τῆς στέγης καὶ τῶν θυρῶν εἰπεῖν. Τὸ μὲν οὖν ἔνδον τῆς στέγης τὸ πρὸς τὸ ἔδαφος βλέπον ὀροφή, τὸ δὲ ἔξω τὸ πρὸς τὸν οὐρανὸν τέγος καλεῖται[1]). Συνέστηκε δὲ ἡ στέγη ἐκ τοῦ μελάθρου, τῶν τε μεσοδμῶν καὶ τῶν δοκῶν, καὶ ἐκ τοῦ στεγαστῆρος καλάμου. Καὶ περὶ μὲν τῶν μεσοδμῶν καὶ τῶν δοκῶν καὶ τῶν ἐρεισμάτων ἐν τοῖς ἔμπροσθεν εἴρηκα· ἐνταῦθα δὲ τοῦτο μόνον προστίθημι, ὡς αἱ δοκοὶ τῆς Ὀδυσσέως ἀνδρωνίτιδος καὶ τῆς Ἀχιλλέως σκηνῆς ἐλάτινοι ἦσαν[2]). Ὁ δὲ στεγαστὴρ κάλαμος, ὃν εὐθὺς ταῖς δοκοῖς, ὥσπερ πλέγμα, ἐπετίθεσαν, καλεῖται ὄροφος. Τοιούτῳ δὲ ὀρόφῳ ἡ Ἀχιλλέως σκηνὴ ἐστεγασμένη ἦν[3]). Ἡ δὲ ἐπιφάνεια τοῦ τέγους ἦν ὁμαλὴ καὶ ὡς εἰπεῖν ἐπίπεδος· τοιοῦτον γὰρ ἦν τὸ τέγος τῆς οἰκίας τῆς Κίρκης, ἐφ' ὃ ἀναβὰς ὁ Ἐλπήνωρ κατεκλίνη[4]). Οἱ δὲ νῦν Ἕλληνες τὰς τοιαύτας τῶν στεγῶν δώματα καλοῦντες ὧδε κατασκευάζουσι. Πρῶτον μὲν πλέγμα καλάμων ἐπὶ τῶν δοκῶν τιθέασιν, ὃ καλαμωτὴν ὀνομάζουσιν, εἶτα δὲ φύκη θαλάσσια ἐπὶ τοῦ πλέγματος στρωννύουσιν, ἐφ' ὧν γῆν τινα ὑπόγλισχρον ἐπιφορήσαντες κυλίνδροις λιθίνοις πυκνοῦσιν, ἵνα ἱκανὴ ᾖ ἰσχυροὺς ὄμβρους ἀμῦναι. Οὐ μὴν ἀλλὰ καὶ τὰς ὑψηλὰς καὶ ἐπικλινεῖς στέγας Ὅμηρος οἶδε. Δῆλον δὲ τοῦτο ἐξ ὧν περὶ τῆς Αἴαντος καὶ Ὀδυσσέως πάλης ἐν Ἰλιάδι εἴρηκε

> ζωσαμένω δ' ἄρα τώγε βάτην ἐς μέσσον ἀγῶνα,
> ἀγκὰς δ' ἀλλήλων λαβέτην χερσὶ στιβαρῇσιν
> ὡς ὅτ' ἀμείβοντες, τούς τε κλυτὸς ἤραρε τέκτων,
> δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων[5]).

Ἔνθα δὴ κατὰ τοὺς παλαιοὺς οἱ ἀμείβοντές εἰσι ξύλα ἑκατέρωθεν τῶν τοίχων ἀλλήλοις ἀντερειδόμενα πρὸς τὸ τοὺς ἐκ μέσου ὑψηλοὺς ὀρόφους ἀνέχειν δύνασθαι[6]). Ὀρόφοις γε μὴν ὑψηλοῖς μόνα ἴσως τῶν οἰκημάτων τὰ ὑπερῷα κατεσκεύαστο· ἐν γὰρ τῷ μετεώρῳ κειμένοις ἡ τῶν ἀνέμων βία προσπίπτει. Καὶ ταῦτα μὲν περὶ τῆς στέγης.

---

1) Ὀδ. Χ. 298. Κ. 559. Λ. 64. 2) Ὀδ. Τ. 36—40. Ἰλ. Ω. 450—1. 3) Ἰλ. Ω. 450—1. Πολυδ. ὀνομ. 10, 170. Εὐστάθ. σελ. 1358, 50. 4) Ὀδ. Κ. 554—60. Εὐσταθ. αὐτόθι σελ. 1669, 13. 5) Ἰλ. Ψ. 710—3. 6) Πολυδ. ὀνομ. 1, 81. Schol. Gr. ad Hom. Iliad. ed. Dindorf τομ. 2, σελ. 269. Rumpf, de aed. Hom. altera pars comment. σελ. 11.

Θύραι.

Θύρα δέ, συνηθέστερον πληθυντικῶς θύραι, καλεῖται πρῶτον μὲν τὸ χάσμα ἢ το στόμιον τῆς εἰσόδου τῆς αὐλῆς καὶ τῶν θαλάμων τῆς οἰκίας (ostium, janua)[1]. *Ἔπειτα δὲ τά θυρώματα* (valvae, fores)[2], *ἅ ἐστιν ὅτε καὶ θύρετρα λέγεται*[3]. *Ἀναλόγως δὲ τούτοις τό τε στόμιον καὶ τὰ θυρώματα τῆς τῶν τειχῶν εἰσόδου πύλαι αὖ καλοῦνται*[4]. *Μέρη δὲ τῆς θύρας ἥ τε ἄνω καὶ κάτω φλιὰ καὶ αἱ ἑκατέρωθεν παραστάδες. Καὶ ἡ μὲν κάτω φλιά, ἐφ ἧς αἱ παραστάδες στηρίζονται, οὐδὸς καλεῖται, ὅς ἐκ μὲν τῆς αὐλῆς αὔλειος*[5], *ἐκ δὲ τῶν θαλάμων οὐδὸς θαλάμοιο*[6], *ἐκ δὲ τῆς ὕλης, ἧς πεποίηται, λάϊνος*[7], *χάλκεος*[8], *μέλινος*[9], *δρύινος*[10], *διὰ δὲ τὴν ἀπεργασίαν πολύκμητος*[11], *ξεστός*[12] *ἐπονομάζεται. Ἡ δὲ ἄνω φλιὰ καλεῖται ὑπερθύριον, ὅ ἐπὶ τῆς αὐλείου θύρας τῶν Ἀλκίνου ἀνακτόρων ἦν ἀργυροῦν*[13]. *Αἱ δὲ παραστάδες ἅπαξ μὲν φλιαὶ λέγονται*[14], *συνήθως δὲ σταθμοί*[15]. *Καὶ οἱ μὲν σταθμοὶ τῆς αὐλείου θύρας τῶν Ἀλκίνου ἀνακτόρων ἦσαν καὶ αὐτοὶ ἀργυροῖ, μᾶλλον δὲ ἐπηργυρωμένοι*[16], *οἱ δὲ τῆς θύρας τῆς Ὀδυσσέως ἀνδρωνίτιδος κυπαρίσσινοι*[17]. *Καὶ οἱ κύνες οἱ ἑκατέρωθεν τῆς αὐλείου θύρας τῶν Ἀλκίνου ἀνακτόρων ἱστάμενοι, Ἡφαίστου τέχνημα ὄντες, χρυσοῦ καὶ ἀργύρου πεποίηνται*[18]. *Τὰ δὲ θυρώματα ξύλινα ὄντα καὶ ἀκριβῶς τὰς σανίδας ἀλλήλαις προσηρμοσμένας ἔχοντα καλοῦνται διὰ τοῦτο κολληταὶ σανίδες*[19], *σανίδες πυκινῶς ἢ εὖ ἀραρυῖαι*[20], *θύραι πυκινῶς ἀραρυῖαι*[21], *κολληταὶ θύραι πυκινῶς ἀραρυῖαι*[22], *πύλαι εὖ ἀραρυῖαι*[23]. *Καὶ μὴν θύρας διπλᾶς Ὅμηρος ἐνιαχοῦ διακρίνων, ἃς δικλίδας καλεῖ, καὶ τὰς ἁπλᾶς οὐκ ἀγνοῶν*

---

1) *Ὀδ. Α.* 107. *Γ.* 407. *Ρ.* 297. *Ἰλ. Ι.* 473. *Ὀδ. Ι.* 243. 304. 416. *Κ.* 310. *Ν.* 109. *Χ.* 91, 107. *Πολυδ. Ὀνομ.* 10, 24. 2) *Ἰλ. Ξ.* 167, 169. *Ὀδ. Ζ.* 19. *Η.* 88. *Κ.* 312. *Φ.* 45, 382. *Ὁμ. Ὑμ. Ἀφροδ.* 60, 236. 3) *Ἰλ. Β.* 415. *Ὀδ. Φ.* 49. 4) *Ἰλ. Μ.* 120, 127, 131 *κ.* 291, 460. *Φ.* 531. 5) *Ὀδ. Α.* 104. *Η.* 130. 6) *Ἰλ. Ι,* 582. *Ὀδ. Δ.* 715. 7) *Ἰλ. Ι.* 104. *Ὀδ. Θ.* 80. *Π.* 41. *Ὁμ. Ὑμ. Ἑρμ.* 233. 8) *Ἰλ. Θ.* 15. *Ὀδ. Η.* 83. 89. 9) *Ὀδ. Ρ.* 339. 10) *Ὀδ. Φ.* 43. 11) *Ὀδ. Δ.* 718. 12) *Ὀδ. Σ.* 33. *Χ.* 72. 13) *Ὀδ. Η.* 90. *Πολυδ.* 1, 76. 14) *Ὀδ. Ρ.* 221. 15) *Ἰλ. Ξ.* 167. 339. *Ὀδ. Δ.* 838. *Ζ.* 19. *Ρ.* 96. *Χ.* 120. 181. 16) *Ὀδ. Η.* 89. 17) *Ὀδ. Ρ.* 340. 18) *Ὀδ. Η.* 91—94. 19) *Ἰλ. Ι.* 583. *Ὀδ. Φ.* 137, 164. 20) *Ὀδ. Β.* 344. *Χ.* 128. *Ψ.* 42. 21) *Ἰλ. Ι.* 475. 22) *Ὀδ. Ψ.* 194. 23) *Ἰλ. Η.* 340. *Μ.* 454. *Σ.* 275.

φαίνεται[1]). *Καλῶ δὲ ἁπλᾶς, ὅσαι ἐκ δυοῖν θυρωμάτοιν οὐ συνεστήκεσαν. Καὶ ἡ νῦν τῶν Ἑλλήνων φωνὴ μονὰς μὲν ταύτας, διπλᾶς δὲ καὶ αὐτὴ ἐκείνας καλεῖ. Ἵνα δὲ τὰ θυρώματα ἀνακλινόμενά τε καὶ ἐπικλινόμενα ῥᾳδίως κινοῖτο, ἐπὶ στροφέως προσηλοῦτο, ὃς θαιρὸς ἐπονομάζεται*[2]). *Ὅγε μὴν θαιρός, ὃν καὶ νῦν ἔτι ἐστὶν ἰδεῖν ἐν τοῖς θυρώμασι πολλῶν οἰκιῶν τῶν νήσων τοῦ Αἰγαίου, τοιόσδε τὴν ἰδέαν ἐστί. Κατὰ τὴν ἑτέραν τῶν πλευρῶν ἑκατέρου τῶν θυρωμάτων, ἣ πρὸς τῆς παραστάδος ἐστί, ξύλον ἐπίμηκες, δοκίδι ἴσον, προσηλοῦται, οὗ τὰ ἄκρα ἄνωθεν καὶ κάτωθεν μικρὸν τῶν θυρωμάτων προέχει. Καὶ τὸ μὲν ἄνω ἄκρον ἔν τινι κοιλότητι, ἣ ὁμοία κοτύλῃ ἐστί, τῆς ἄνω φλιᾶς, τὸ δὲ κάτω ἐν ἑτέρᾳ τῆς κάτω ἐμβέβληται. Ὀρθῶν οὖν τῶν θυρῶν οὐσῶν καὶ στρεφομένων καὶ τὸ ξύλον τοῦτο σὺν αὐταῖς, ὥσπερ ἄξων, συμπεριστρέφεται. Ἵνα δὲ καὶ τῶν θυρῶν ἐπιλαμβάνεσθαι εἴη εἴτε κροῦσαι εἴτε ἐπισπάσασθαι βουλομένῳ, ἦν σιδηρᾶ καὶ καμπύλη λαβὴ ἐπ' αὐτῶν ἐμπεπηγυῖα, ἣν ὁ μὲν Ὅμηρος διὰ τὸ σχῆμα κορώνην, οἱ δὲ μετὰ ταῦτα κόρακα, ῥόπτρον, ἐπίσπαστρον ἐπονομάζουσιν*[3]). *Ἡ δὲ κορώνη τῆς αὐλείου θύρας τῶν Ἀλκίνου ἀνακτόρων ἦν χρυσῆ*[4]).

Κλεῖθρον.

Καὶ ταῦτα μὲν περὶ τῶν θυρῶν. Ὡς δὲ ἔξωθεν μὲν κλεισὶν αὐτὰς ἀνέῳγον, ἔνδοθεν δὲ μοχλοῖς ἐπεζύγουν, νῦν ἐρῶ. Ἀλλ' ἵνα τὸν τρόπον τοῦ ἀνοίγειν καὶ κλείειν τὴν θύραν σαφῶς γνῶναι δυνηθῶμεν, ἀνάγκη πρῶτον μαθεῖν, ὅπως ἡ κλεὶς καὶ μάλιστα τὸ κλεῖθρον κατεσκευασμένον ἦν. Τούτου μέντοι ἐκ τῶν ὁμηρικῶν ποιημάτων τυχεῖν εἴπερ μὴ παντάπασιν ἀδύνατον, ὅμως τῶν χαλεπωτάτων γέ ἐστι. Τοιγαροῦν πειράσομαι διὰ βραχέων ἀφηγήσασθαι, ὡς νῦν ἔτι τὸ κλεῖθρον τῶν γεωργικῶν οἰκημάτων ἐν τῇ ἐμῇ πατρίδι Πάρῳ τῇ νήσῳ κατασκευάζεται, ἵνα καὶ τὸ ὁμηρικὸν κατὰ τοῦτο ἐξηγήσασθαι δυνηθῶ. Ἔστι τοίνυν τὸ κλεῖθρον τοῦτο ἐπίμηκες τετράγωνον, ξύλον πεποιημένον, τὸ μὲν μῆκος ὅσον τριπάλαιστον, διπάλαιστον δὲ τὸ πλάτος, τὸ δὲ πάχος παλαιστιαῖον. Ἀπὸ δὲ τῆς ἑτέρας τῶν

---

1) *Ἰλ. Μ.* 455. *Ὀδ. Β.* 345. *Ρ.* 267—8. *Εὐστάθ. ἐν Ὀδ. Β. σελ.* 1449, 6. *Λεξ. Ἀπολλ. Σοφ. σελ.* 59, 2. 2) *Ἰλ. Μ.* 459. *Πολυδ. ὀνομ.* 1, 76. 3) *Ὀδ. Α.* 441—2. *Φ.* 46. *Εὐστάθ. ἐν Ὀδ. Α. σελ.* 1429. *Πολυδ. ὀνομ.* 1. 77 *καὶ* 10, 20. 4) *Ὀδ. Η.* 90.

ἐπιφανειῶν εἰς βάθος τριῶν δακτύλων μάλιστα ἔσκαπται καὶ κοίλῳ σκαφίῳ ἢ χελώνης ὀστράκῳ παρόμοιον ἀπείργασται. Ἐξ ὧν δὲ καὶ Εὐστάθιος ἐν ταῖς εἰς Ὀδύσσειαν παρεκβολαῖς εἴρηκε[1]*, οὐκ ἀγνοῶν τὸ νῦν κλεῖθρον φαίνεται, ὅπερ διὰ τὸ σχῆμα χελώνιον ἐπονομάζει. Χρήσομαι δὲ κἀγὼ τῷ αὐτῷ ὀνόματι ἐνταῦθα οὐκ ἀτόπῳ ὄντι. Πρὸς δὲ τούτοις ὄπισθεν τοῦ χελωνίου κατὰ μέσον τὸ νῶτον τρεῖς ὀπαὶ ὀρθαί εἰσιν, ὧν ἡ μέση ἐπιμηκεστέρα τῶν ἄλλων. Κατὰ θάτερον δὲ τῶν ἄκρων ἐπ' ἀμφοτέρων τῶν παρειῶν δύο ἕτεραι ὀπαὶ τετράγωνοι καὶ ἀκριβῶς ἀλλήλαις ἀντικείμεναι, δι' ὧν ὀχέα διείρουσιν, οὗ ἡ πρὸς τὸ κοίλωμα τοῦ χελωνίου ἐστραμμένη πλευρὰ ὀδοντωτή ἐστιν. Ὅγε μὴν ὀχεὺς οὕτως ἐμβεβλημένος ἔς τε τὸ πρόσω ἅμα καὶ ἐς τοὐπίσω κινεῖσθαι δύναται. Ἐν δὲ τῷ τοῦ χελωνίου κοιλώματι δύο βάλανοι ὀρθαὶ ἐμβέβληνται, ὧν αἱ μὲν πτέρναι ἐν τοῖς χάσμασι τοῖς μεταξὺ τῶν ὀδόντων τοῦ ὀχέως ἐναρμόζονται, ὥστε τὸν ὑποκείμενον ὀχέα ἀκίνητον μένειν, αἱ δὲ πλευραὶ αἱ τοῦ πρὸς τὸ ἔνδον νώτου τοῦ χελωνίου εὐθὺς ἐφαπτόμεναι καὶ ἀκριβῶς ἐπὶ τῶν δύο πρὸς τὰ πλάγια ὀπῶν κείμεναι ἔχουσι βαθεῖαν ἐγκαρσίαν ἐντομὴν κατὰ τὸ μέσον. Οὕτως οὖν τὸ χελώνιον κατεσκευασμένον πρὸς τὰ ἔνδον τῇ θύρᾳ κατὰ τὴν ἑτέραν τῶν παραστάδων ἀπὸ τῶν τεσσάρων ἄκρων προσηλοῦται, ὅταν ἡ θύρα ᾖ ἁπλῆ· ἐπὶ δὲ τῶν συνδρομάδων θυρῶν κατὰ τὸ μέσον τοῦ ἑτέρου τῶν θυρωμάτων τὸν αὐτὸν τρόπον προσήρμοσται. Ἔξωθεν δὲ ἐπὶ τῆς θύρας κατὰ τὴν χώραν, ᾗπερ τὸ χελώνιον ἔνδοθεν ἀντίκειται, τρεῖς αὖθις ὀπὰς ποιοῦσι, μίαν μὲν πρὸς τῇ παραστάδι, ἥπερ εἴσω ἐπὶ τὴν κεφαλὴν τοῦ ὀχέως διήκει, δευτέραν δὲ τοσοῦτον τῆς πρώτης ἀπέχουσαν, ὅσον τὸ μῆκος τοῦ ἔνδον παρακειμένου ὀχέως· διήκει δὲ καὶ αὕτη ἐπὶ τὴν τοῦ ὀχέως πτέρναν. Μεταξὺ δὲ τούτων τὴν τρίτην αὖθις ποιοῦσι, τοσαύτην τὸ μῆκος, ὅσηπέρ ἐστιν ἡ μέση ὀπὴ ἡ ἐπὶ τοῦ νώτου τοῦ χελωνίου, εἰς ἣν καὶ διικνεῖται· ἀμφότεραι γὰρ αὗται αἱ ὀπαὶ ἀλλήλαις ἀκριβῶς ἀντίκεινται. Καὶ διὰ μὲν τῶν δύο ἀφισταμένων μικρῶν καὶ στρογγύλων τῆς θύρας ὀπῶν τὰ ἄκρα ἱμάντος ἐνείρουσιν, ὧν τὸ μὲν ἐκ τῆς ὀπῆς τῆς κατὰ τὴν πτέρναν τοῦ ὀχέως ἐνειρμένον τῇ κεφαλῇ, τὸ δὲ ἐκ τῆς ἑτέρας τῇ πτέρνᾳ αὐτοῦ προσδέδεται, ὥστε ἀμφότερα*

1) σελ. 1900, 58.

πρὸς τὸ ἔνδον χιάζεται. Ἡ δὲ τρίτη ἐπὶ τῆς θύρας ὀπή, ἡ ἐν τῷ μέσῳ κειμένη, ἐστὶ τῆς κλειδός. Ἥγε μὴν κλεὶς σιδήρου πεποίηται, σχῆμα δ' ἔχει οἷόν περ τὸ στοιχεῖον ταῦ γράφεται· διαφέρει δ' αὐτοῦ τῷ τὰ δύο τῆς κεραίας ἄκρα, ἃ εὐθὺς πρὸς τὰ κάτω νεύει, ὀλίγῳ μακρότερα ἔχειν, ὥστε δύο ὀδόντας ἢ γόμφους ἀποτελεῖν (Ṭ). Ἡ δὲ τῆς κλειδὸς λαβὴ συνήθως ἐστὶ στρογγύλη. Λαβόντες οὖν τὴν κλεῖδα ὧδε ἀνοίγουσι. Προσαρμόσαντες πρῶτον τῇ οἰκείᾳ ἐπὶ τῆς θύρας ὀπῇ, εἶτα δὲ εἴσω ὤσαντες καὶ διὰ τῆς ἀντικειμένης τοῦ χελωνίου μέσης ὀπῆς τὴν κεφαλὴν διεκβαλόντες πλαγίαν στρέφουσι. Μετὰ δὲ τοῦτο εἰς ἑαυτοὺς μικρὸν ἑλκύσαντες διὰ τῶν πλαγίων ἐπὶ τοῦ νώτου τοῦ χελωνίου μικροτέρων ὀπῶν τοὺς γόμφους εἰς τὸ χελώνιον ἐνείρουσι καὶ τὰς βαλάνους ἐκ τῶν ἐντομῶν λαμβάνουσι. Τούτου δὲ γενομένου τὰς μὲν βαλάνους ἐκ τῶν χασμάτων τοῦ ὀχέως ἀνακόπτοντες ἐξαιροῦσι, τὸν δὲ ὀχέα ἔξωθεν τοῦ ἱμάντος ἐξέλκουσι καὶ οὕτω τέλος ἀνοίγουσιν. Ὁπόταν δ' αὖ κλείειν βούλωνται, τῇ κλειδὶ οὐ χρῶνται, ἀλλ' ἔξωθεν τοῦ ἱμάντος αὖθις τὸν ὀχέα ἑλκύσαντες ἐμβάλλουσι τὴν κεφαλὴν αὐτοῦ εἰς μικρὸν κοίλωμα, ὃ εὐθὺς μετὰ τὴν παραστάδα ἐπὶ τοῦ τοίχου τῆς θύρας ἐστί. Φέρε δὲ νῦν ἴδωμεν, ὅπως ἡ Πηνελόπη πεποίηται τὴν θύραν τοῦ ταμιείου ἀνοίγουσα. Πρῶτον μὲν κληῖδα εὐκαμπέα, χαλκείην λαμβάνει, ἣ ἐλεφαντίνην κώπην εἶχεν, εἶτα δὲ προσελθοῦσα εἰς τὴν θύραν τάδε ποιεῖ·

αὐτίκ' ἄρ' ἥγ' ἱμάντα θοῶς ἀπέλυσε κορώνης,
ἐν δὲ κληῖδ' ἧκε, θυρέων δ' ἀνέκοπτεν ὀχῆας
ἄντα τιτυσκομένη· τὰ δ' ἀνέβραχεν ἠΰτε ταῦρος
βοσκόμενος λειμῶνι: τόσ' ἔβραχε καλὰ θύρετρα
πληγέντα κληῖδι, πετάσθησαν δέ οἱ ὦκα[1]).

Ἀπολύσασα οὖν τῆς κορώνης τὸν ἱμάντα, ἵνα μετὰ μικρὸν τὸν ὀχέα ἐξελκύσειε καὶ ἐμβαλοῦσα εἰς τὴν ὀπὴν τὴν κλεῖδα σκοπεῖ πρῶτον, ὅπως τοῖς τῆς κλειδὸς γόμφοις τῶν ἐν τῷ χελωνίῳ βαλάνων τεύξεται· μετὰ δὲ τοῦτο ἀνακόψασα αὐτὰς ἀνέῳξε τὴν θύραν. Καὶ ταῦτα μὲν γλαφυρῶς τῷ ποιητῇ πέφρασται, οὐ μὴν καὶ σαφῶς, ὥσπερ Εὐστάθιος εὐστόχως πάνυ εἴρηκεν· ἐξ ὧν δ' ἐν τοῖς ἔμπροσθεν γέγραφα, ἀκριβῶς ἂν τις νῦν πᾶσαν τὴν τῶν ἐπῶν ὑπόνοιαν καταμάθοι[2]). Ἐν δὲ τῷ κλείειν πρῶ-

1) Ὀδ. Φ. 6—7 καὶ 46—50. 2) ὅρα Εὐσταθ. ἐν Ὀδ. Φ. σελ. 1900, 50. Schol. Ambr. ed. Buttm. σελ. 581.

τον τὴν θύραν ἐπέκλινον τῆς κορώνης λαβόμενοι, ἔπειτα δὲ ἕλκοντες ἔξωθεν τὸν ἱμάντα τὴν κεφαλὴν τοῦ ὀχέως εἰς τὸ τοῦ τοίχου κοίλωμα ἐνέβαλλον. Ἐν δὲ τῷ τοιούτῳ αἱ τοῦ χελωνίου βάλανοι αὐτόματοι εἰς τὰ χάσματα τοῦ ὀχέως ἐνέπιπτον. Οὕτως ἡ Εὐρύκλεια τὴν θύραν τοῦ θαλάμου τοῦ Τηλεμάχου ἔκλεισε

> βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο, θύρην δ' ἐπέρυσσε κορώνῃ
> ἀργυρέῃ, ἐπὶ δὲ κληῖδ' ἐτάνυσσεν ἱμάντι[1]).

Ἔνθα δὴ κληῒς ἐστιν ὁ ὀχεύς.

Μοχλοί.

Ἔνδοθεν δὲ τὰς θύρας μοχλοῖς ἐπεζύγουν, οἳ κληῖδες συνήθως καλοῦνται. Ὁ δὲ τῆς αὐλείου θύρας τῆς Ἀχιλλέως σκηνῆς μοχλὸς καὶ ἐπιβλὴς λέγεται, ὡς ὄπισθεν τῇ θύρᾳ ἐπιβαλλόμενος. Καὶ πεποίηται μὲν ἐλάτης, τηλικοῦτος ὅμως ἦν τὸ μέγεθος καὶ τοσοῦτος τὸ βάρος, ὥστε τρεῖς μὲν ἐπερρήσσεσκον Ἀχαιοί, Ἀχιλλεὺς δὲ ἐπερρήσσεσκε καὶ οἶος[2]). Καὶ ἡ αὔλειος θύρα τῶν Ὀδυσσέως ἀνακτόρων μοχλῷ ἐπιζυγουμένη καὶ δεσμῷ βυβλίνῳ συνεπεδεῖτο[3]). Ὡς δὲ αἱ θύραι ἐμοχλοῦντο σαφῶς μανθάνομεν ἐξ ὧν Ὅμηρος περὶ τῶν μοχλῶν τῆς πύλης τοῦ τείχους τῶν ὑπὸ τῇ Τροίᾳ στρατοπεδευομένων Ἑλλήνων εἴρηκε

> δοιοὶ δ' ἔντοσθεν ὀχῆες
> εἶχον ἐπημοιβοί, μία δὲ κληῒς ἐπαρήρει[4]).

Δοκεῖ μοι τοίνυν τοὺς ὀχεῖς ἢ μοχλοὺς τούτους καὶ πάλαι κατεσκευάσθαι καὶ ἐπιβεβλῆσθαι ὥσπερ καὶ νῦν ἔτι ταῖς πύλαις τῶν περιβόλων παλαιῶν Χριστιανικῶν ναῶν. Ὄπισθεν δήπου τῶν πυλῶν μετὰ τὰς παραστάδας δύο μακραὶ δοκοί εἰσιν ἐν ἀμφοτέροις τοῖς τοίχοις τῆς πύλης ἐπικάρσιαι ἐγκατῳκοδομημέναι, κινηταὶ δὲ καὶ διὰ τοῦτο εἴς τε τὸ πρόσω καὶ εἰς τοὐπίσω ῥᾳδίως ὠθεῖσθαι δυνάμεναι. Μοχλοῦντες οὖν τὰς πύλας ἕλκουσιν ἑκατέραν δοκὸν ἔς τ' ἂν τὴν κεφαλὴν αὐτῆς εἰς μικρόν τι κοίλωμα ἐπὶ τοῦ ἀντικειμένου τοίχου τῆς πύλης ἐμβάλωσιν. Οὕτω δὴ ἐπιβεβλημέναι ἀλλήλαις ἐπίκεινται καὶ διὰ τοῦτο οἱ ὀχεῖς ὑπὸ Ὁμήρου ἐπημοιβοὶ ἐπονομάζονται. Ὁπόταν δὲ αἱ δοκοὶ μὴ ἀκριβῶς τῆς πύλης ἐφάπτωνται, ἀλλ' ᾖ μεταξὺ διάστημά τι

1) Ὀδ. Α. 441—42. 2) Ἰλ. Ω. 453—6. 3) Ὀδ. Φ. 240—1. 388—91. 4) Ἰλ. Μ. 455—6.

κενόν, ἐμβάλλουσι κατὰ τὸ μέσον ξύλινον σφῆνα, ὃν Ὅμηρος κληῖδα καλεῖ[1]). Τὸν αὐτὸν δὲ τρόπον αἱ θύραι καὶ πύλαι νῦν μοχλοῦνται, καὶ ὁπόταν εἷς μόνος μοχλὸς ᾖ. Πάλαι δὲ ἀντὶ τοῦ σφηνὸς σιδηρᾷ βαλάνῳ ἐχρῶντο, ἣν διὰ τρήματος ἀπὸ τοῦ μοχλοῦ εἰς τὴν πύλην διήκοντος ἐνετίθεσαν, ὥστε τὸν μοχλὸν ἀμετακίνητον εἶναι. Ἀντὶ δὲ τῆς βαλάνου ταύτης ὁ παρὰ Θουκυδίδῃ Πλαταιεὺς στυρακίῳ ἀκοντίου εἰς τὸν μοχλὸν χρησάμενος τὰς πύλας ἔκλεισεν[2]). Ἐντεῦθεν καὶ ὁ Παρμενίδης παρὰ Σέξτῳ τῷ ἐμπειρικῷ τὸν μοχλὸν βαλανωτὸν ὀχῆα καλεῖ[3]). Τῶν δ' αὖ θυρῶν καὶ πυλῶν ἀναπεπταμένων ὁ μοχλὸς οὐχ ὁρᾶται ἅτε δὴ εἰς τὴν ὄπισθεν ἐν τῷ τοίχῳ κρύπτην καταδεδυκώς· διὰ τοῦτο ὁ τῆς θύρας τοῦ θαλάμου τῆς Ἥρας μοχλός, Ἡφαίστου ὢν τέχνημα, κληῒς κρυπτὴ ὑπὸ τοῦ ποιητοῦ ἐπονομάζεται[4]). Οὐ μόνον δὲ κλείθροις, ἀλλὰ καὶ μοχλοῖς μικροῖς καὶ κούφοις αἱ θύραι τινῶν θαλάμων ἐξήρτυνται, ὥσπερ ὁ κρυπτὸς μοχλὸς τῆς θύρας τοῦ θαλάμου τῆς Ἥρας σαφῶς τοῦτο δείκνυσι. Τοιούτῳ δὴ μοχλῷ μικρὸν πρὸ τοῦ φόνου τῶν μνηστήρων ἐπεζύγωσαν ἔνδοθεν αἱ γυναῖκες τὴν κοινὴν τῇ γυναικωνίτιδι καὶ ἀνδρωνίτιδι θύραν[5]). Αἱ δὲ θύραι τῆς αὐλῆς καὶ αἱ πύλαι οὐ κλείθροις, ὥσπερ τινὲς οὐκ ὀρθῶς βούλονται[6]), ἀλλὰ μοχλοῖς μόνοις ἐξηρτυμέναι ἦσαν.

---

1) ὅρα La Roche, ἐν Ἰλ. Μ. στιχ. 456. 2) 2, 4, 4. 3) Σέξτ. πρὸς λογικούς Α. σελ. 213. στιχ. 24 ed. Bekker. 4) Ἰλ. Ξ. 168. ὅρα αὐτόθι καὶ La Roche. 5) Ὀδ Φ. 235—9. 6) Friedreich Realien σελ. 302.

(ὅρα τὰ ἐν τῷ τέλει διαγράμματα.)

ΕΠΙΜΕΤΡΟΝ.

Σημ. ά. Χρῆσις τῶν συνωνύμων ὀνομάτων οἶκος, δόμος, δῶμα, μέγαρον.

I. *Οἶκος.*

1) **Τάσσεται ἐπὶ τῆς ὅλης οἰκίας.** *Ὀδ.* **Α**, 375. **Δ**, 476. **Ε**, 42, 115. **Ζ**, 9. **Κ**, 474. **Ρ**, 84. **Υ**, 34, 262.

2) **Ἐπὶ τῆς ἀνδρωνίτιδος.** *Ὀδ.* **Ο**, 516. **Φ**, 188.

3) **Ἐπὶ τῆς γυναικωνίτιδος.** *Ὀδ.* **Α**, 356, 360. **Δ**, 717. **Τ**, 514. **Φ**, 350, 353. **Ψ**, 292.

4) **Ἐπὶ τοῦ μυλῶνος.** *Ὀδ.* **Υ**, 105—6.

5) **Ἐπὶ τῶν ἄλλων τῶν ἐν τῇ αὐλῇ θαλάμων.** *Ὀδ.* **Γ**, 396. *πρβ.* 413.

II. *Δόμος.*

1) **Ὥσπερ καὶ ὁ οἶκος ἐπὶ τῆς ὅλης οἰκίας.** *Ἰλ*, **Ζ**, 242. *Ὀδ.* **Γ**, 402. **Δ**, 43. **Ζ**, 302. **Η**, 22, 28, 88, 131.

2) **Ἐπὶ τῆς ἀνδρωνίτιδος.** *Ὀδ.* **Α**, 126, 255. **Η**, 144. **Θ**, 57. **Ρ**, 85, 178. **Φ**, 190. **Χ**, 204, 291, 381, 455. *πρβ.* 440 *καὶ* 457.

3) **Ἐπὶ τῆς γυναικωνίτιδος.** *Ὀδ.* **Α**, 330. **Φ**, 5. *Ἰλ*, **Χ**, 440.

III. *Δῶμα, δώματα.*

1) **Ἐπὶ τῆς ὅλης οἰκίας.** *Ἰλ.* **Ζ**, 313. *Ὀδ.* **Β**, 258, 259. **Γ**, 387. **Ζ**, 299. **Η**, 82, 85. **Θ**, 41. **Κ**, 60. **Ρ**, 264. **Τ**, 526. **Υ**, 325.

2) **Ἐπὶ τῆς ἀνδρωνίτιδος.** *Ὀδ.* **Β**, 381. **Δ**, 15. *πρβ.* 24 *καὶ* 37, 679. **Ζ**, 50. **Η**. 139. **Ρ**, 501. **Φ**, 234. 378. **Χ**, 22.

3) **Ἐπὶ τῆς γυναικωνίτιδος.** *Ὀδ.* **Ρ**, 541. *πρβ.* 505—6. *Ἰλ.* **Χ**, 442.

4) **Ἐπὶ τοῦ ὑπερῴου.** *Ὀδ.* **Σ**, 314. *πρβ.* 302.

IV. *Μέγαρον.*

1) *Ἐπὶ τῆς ἀνδρωνίτιδος.* *Ὀδ. Α*, 365. *πρβ. κ. Δ*, 768. *Δ*, 37. *Ζ*, 304. *Λ*, 334. *Π*, 284. *Ρ*, 325. *Σ*, 307. *Τ*, 1, 39, 49. *Υ*, 96, 117, 258. *Φ*, 58, 176, 229. *Χ*, 120, 127, 172. *Ψ*, 28, 43, 363.

2) *Ἐπὶ τῆς γυναικωνίτιδος.* *Ἰλ. Γ*, 125. *Ζ*, 286. *Χ*, 460. *πρβ.* 440. *Ὀδ. Τ*, 60. *Υ*, 6. *Χ*, 396, 497. *πρβ. Ὀδ. Δ*, 300 *καὶ Η*, 339. *Ψ*, 20, 24.

3) *Ἐπὶ τοῦ ὑπερῴου.* *Ὀδ. Β*, 94. *Τ*, 139. *πρβ. καὶ Ο*, 516—7. *Σ*, 316, *πρβ.* 302.

Σημ. β΄. Ὁ ἐν Πάρῳ ναὸς τῆς Θεοτόκου. *Ἡ αὐλὴ τοῦ ἐν Πάρῳ ναοῦ τῆς Θεοτόκου ὁμοία ἐστὶ τῇ τῆς ἁγίας Λαύρας, τῆς ἐπὶ τοῦ ὄρους Ἄθω μονῆς, καθ᾽ ἃ δὴ αὐτὴν περιέγραψεν ὁ* Fr. W. Unger *ἐν τῷ* 5. *τόμῳ σελ.* 425 *τοῦ συγγράμματος* Griechenland, Christlich-griechische oder byzantin. Kunst. *Καίτοι δὲ ὁ ἐν Πάρῳ ναὸς κατὰ τὴν παράδοσιν τῶν ἀρχαιοτάτων ἐστίν, ὅμως ὑπὸ τοῦ συγγραφέως οὐδεμιᾶς μνείας ἐν τῷ περὶ ναῶν κεφαλαίῳ ἠξίωται. Πλὴν δ᾽ ἄλλων τῆς πάλαι αὐτοῦ λαμπρότητος διὰ βραχέων ἐμνήσθη καὶ ὁ μακαρίτης* Hopf *ἐν τῷ* 6. *τόμῳ ἐν σελίδι* 133 *τοῦ αὐτοῦ συγγράμματος.*

Σημ. γ. Μεσόδμαι. *Ἱπποκράτης περὶ ἄρθρων τομ.* 4, *σελ.* 288 *κ.* 290 (ed. Littré, Paris 1844). „*Κρεμάσαι χρὴ τὸν ἄνθρωπον τῶν ποδῶν πρὸς μεσόδμην δεσμῷ δυνατῷ μέν, μαλθακῷ δὲ καὶ πλάτος ἔχοντι. Τοὺς δὲ πόδας διέχειν χρὴ ὅσον τέσσαρας δακτύλους ἀπ᾽ ἀλλήλων ἢ καὶ ἔλασσον· χρὴ δὲ καὶ ἐπάνωθεν τῶν ἐπιγουνίδων προσπεριβεβλῆσθαι πλατεῖ ἱμάντι καὶ μαλθακῷ ἀνατείναντι εἰς τὴν μεσόδμην. Τὸ δὲ σκέλος τὸ σιναρὸν ἐντετάσθαι χρὴ ὡς δύο δακτύλους μᾶλλον τοῦ ἑτέρου. Ἀπὸ δὲ τῆς γῆς τὴν κεφαλὴν ἀπεχέτω ὡς δύο πήχεας ἢ ὀλίγῳ πλέον ἢ ἔλασσον.*" *Γαληνὸς εἰς τὸ Ἱπποκράτους περὶ ἄρθρων ὑπόμνημα Δ*, ed. Kühn, *τομ.* XVIII, 1, pag. 738: „*Μεσόδμη, τὸ μέγα ξύλον ἀπὸ τοῦ ἑτέρου τοίχου πρὸς τὸν ἕτερον διῆκον, ἔν τε τοῖς πανδοχείων οἴκοις τοῖς μεγάλοις, ἐν οἷς ἱστᾶσι τὰ κτήνη, καὶ κατ᾽ ἀγρὸν ὁμοίως ἐν τοῖς γεωργικοῖς οἴκοις.*"

Ὁ αὐτὸς ἐν τῇ ἑρμηνείᾳ τῶν ἱπποκρατείων λέξεων ed. Franz p. 522: „*Μεσόδμη· ἡ καθ᾽ ἕνα οἶκον εἰς δύο μεμερισμένον διορίζουσα τοῦ δοκοῦ εἷρξις, οἷον μεσοδμή τις οὖσα. Τινὲς δὲ καὶ τὸ ὑπερκείμενον στέγος μεσόδμην καλοῦσι.*" *Τὰ χωρία ταῦτα ἀντεγράφησαν ἐκ τῆς τοῦ* H. Rumpf *πραγματείας* „Altera pars

commentationis de aed. Hom. p. 29—30. *Εὐσταϑ ἐν. Ὀδ. Τ, στιχ.* 37. *σελ.* 1855: *Μεσόδμαι δὲ οὐ μόνον ἐπὶ νεῶν αἱ προδηλωϑεῖσαι, ἀλλ' ἰδοὺ καὶ οἴκου μεσόδμαι, τὰ μεσόστυλα κατ' Ἀρίσταρχον. Καϑ' ἑτέρους δὲ τὰ μεταξὺ τῶν δοκῶν. Ἔνιοι δὲ διαφράγματα ἢ καὶ διαστήματα μεταξὺ τῶν κιόνων, οἵ, φασί, περὶ τοὺς τοίχους ἦσαν.*

Schol. Ambr. *ἐν Ὀδ. Τ, στιχ.* 37 *σελ.* 506 ed. Buttmann. „*Μεσόδμαι. Ἀρίσταρχος τὰ μεσόστυλα, ἔνιοι δὲ τὰ μεταξὺ τῶν δοκῶν διαστήματα. — Τὰ μεταξὺ τῶν κιόνων διαφράγματα, οἵτινες ἦσαν περὶ τοὺς τοίχους τὰ ἄκρα βαστάζοντες τῶν δοκῶν.*

Ἡσύχιος. „*Μεσόδμαι καὶ Μέσοδμα· τὰ μεσόστυλα. Τινὲς δὲ τὰ τῶν δοκῶν διαστήματα.*“

Αἱ δὲ τῶν νεωτέρων ἑρμηνεῖαί εἰσιν αἵδε.

Fäsi (Kayser) *ἐν Ὀδ. Τ, στιχ.* 37. Nach den Meisten Vertiefungen zwischen den Wandpfeilern (*μεσόστυλα* nach Aristarch), die sich an die *τοῖχοι* natürlich anschliessen. Dann folgen die *δοκοί*, d. h. Balken an der Decke. Nach Rumpf eine Art Gallerien oder Bühnen, die im Hintergrunde des Männersaals zwischen und hinter den Säulen (*κίονες*) angebracht waren und in einer mässigen Höhe gleichsam hingen. *Ταύτην δὲ τὴν περὶ τῶν μεσοδμῶν γνώμην τοῦ* H. Rumpf *ὅρα ἐν τῇ* altera pars comment. de aed. Hom. p. 37 *κ, ἑξῆς, ἣν διὰ τὸ μῆκος ἐνταῦϑα οὐκ ἀντέγραψα. Τῷ* H. Rumpf *συμφωνεῖ καὶ ὁ* Arth. Winckler *ἐν τῷ*: die Wohnhäuser der Hellenen, *σελ.* 31—34.

Ameis (Hentze) *ἐν Ὀδ. Τ,* 37: „*Μεσόδμαι*“, eigentlich „Zwischenbau“, wahrscheinlich kurze, niedrige Wände, welche in gleicher Höhe mit der Fundamentmauer in den Saal vorsprangen und vorn die Säulen trugen; sodann die dadurch gebildeten Nischen, die nach dem Saale zu offen, auf beiden Seiten von den säulentragenden Wänden und hinten von der Hauptwand umschlossen waren.“

Autenrieth, Hom. Wörterbuch, *σελ.* 182: „*Μεσόδμαι*, Cabinette, eine Art von Nischen, welche nach der Innenseite des Saales offen, beiderseits von den *κρηπιδώματα* der Säulen, hinten von der Wand umschlossen waren; darinnen mochten sich Statuen befinden.“ *ὅρα καὶ* Gerlach, das Haus des Odysseus *ἐν τῷ* 30. *τόμῳ σελ.* 511 *τοῦ* Philologus.

Krause, Deinokrates, σελ. 496: „Nach der Erklärung des Hesychios bezeichnen μεσόδμαι die Mittelsäulen (τὰ μεσόστυλα) oder auch die Zwischenräume, Intervalle der Deckenbalken (τὰ τῶν δοκῶν διαστήματα). Hieraus ergiebt sich, dass die μεσόδμαι die an der Wand stehenden Rund- oder Halbsäulen waren, auf welchen die tragenden Deckenbalken, d. h. diejenigen Querbalken gestützt waren, auf welchen die Decke des Saales ruhte."

Döderlein, Hom. Gloss. 1, σελ. 233 (ἀριθμ. 357). „Μεσόδμη. In einem gewöhnlichen kleinen Zimmer sah man oben die Deckbalken, δοκοί, und einen Quer- oder Tragbalken, auf dem sie ruhten. Dieser Eine Tragbalken lief mitten über das Zimmer, δόμος, und hiess darum μεσόδομος δοκὸς oder als Ein Substantiv μεσόδμη, Lob. Par. 466. In einem grösseren Zimmer oder Saal waren mehrere solche Tragbalken nöthig, die dann ohne sich in der Mitte zu befinden, doch den Namen μεσόδμαι beibehielten, mit demselben Recht, wie das Stadtviertel, wenn es auch zwanzig Theile der Stadt giebt. Waren die Deckbalken von gewöhnlichem, weichem Holz, ἐλάτιναι, so verlangten dagegen die Tragbalken ein hartes Holz; sie waren daher wohl δρύιναι, wie die Schwelle nach Ὀδ. XXI, 43, oder vielleicht gar κέδριναι, wie der θάλαμος Ἰλ. XXIV, 192, da das Cedernholz zugleich hart und, was für den Tragbalken besonders wichtig, dem Wurmfrass nicht ausgesetzt ist. Auf ein so edles Holz weist auch das Epitheton καλαὶ hin." Μετὰ ταῦτα δὲ ἐπάγει ὁ Döderlein τὰ χωρία τοῦ Ἱπποκράτους καὶ Γαληνοῦ, ἃ ἐν τοῖς ἔμπροσθεν ἀνέγραψα, πρὸς ἐμπέδωσιν ταύτης τῆς ἑρμηνείας.

Σημ. δ. Ανόπαια. Περὶ τῶν ποικίλων τοῦ ὀνόματος γραφῶν καὶ ἑρμηνειῶν, αἳ ὑπὸ τῶν παλαιῶν καὶ νεωτέρων ἐγένοντο, ὅρα τὸ Ὁμηρικὸν λεξικὸν τοῦ H. Ebeling σελ. 132. ἐν τῷ ὀνόματι „ἀνοπαῖα". Μερικώτερον δὲ τοῦ πράγματος ἥψαντο οἵδε.

Nitzsch ἐν Anmerk. zu Hom. Ὀδ. 1, σελ. 54· Döderl. Hom. Gl. 2, σελ. 261. Rumpf, de aed. Hom. 2, σελ. 32. Gerlach, das Haus des Odysseus, ἐν τῷ 30· τόμῳ τοῦ Philologus.

Hentze ἐν τῷ Anhang zu Hom. Ὀδ. von Ameis, 1. Heft, Seite 23. Διὰ μακρῶν δὲ περὶ ἀνοπαίων ἐπραγματεύθη ὁ Emil Wörner ἐν τῷ δευτέρῳ τεύχει τοῦ ἕκτου τόμου σελ.

349—371 τῶν Studien zur gr. n. lat. Grammatik, τῶν ἐκδιδομένων ὑπὸ τοῦ καθηγητοῦ Γεωργίου Κουρτίου. Ἐν τῇ αὐτῇ πραγματείᾳ περιελήφθησαν καὶ πάντα τὰ ἀρχαῖα σχόλια περὶ ἀνοπαίων, σελ. 349—352.

Σημ. ε. Ὑπερώια σιγαλόεντα. Ὁ μὲν Εὐστάθιος ἐν Ὀδ. Π, σελ. 1808, 28 περὶ τοῦ ἐπιθέτου σιγαλόεις φησὶ τάδε. „Ὑπερώια σιγαλόεντα οὐ τὰ σιγῶντα, ἀλλὰ τὰ ἐμποιοῦντα σιγὴν τῷ βλέποντι διὰ τὸ θαυμαστὰ εἶναι.“ Ἐμοὶ δὲ δοκεῖ μηδὲν κοινὸν εἶναι ἐτυμολογικῶς τῷ τε ἐπιθέτῳ σιγαλόεις καὶ τῷ οὐσιαστικῷ ὀνόματι σιγή, ἐξ οὗ Εὐστάθιος αὐτὸ ἐτυμολογῶν φαίνεται. Ἄλλοι δὲ πάλιν βουλόμενοι τὸ σιγαλόεις συγγενὲς εἶναι τοῖς ὀνόμασι σίαλον, σίαλος λέγουσιν ὅτι σημαίνει πρῶτον μὲν τὸν πιμελῆ, εἶτα δὲ τὸν λαμπρὸν (ὅρα Κουρτίου ἐτυμολογικὸν σελ. 599). Ἔκ γε μὴν τῆς χρήσεως βέβαιον φαίνεται, ὅτι τὸ ἐπίθετον σιγαλόεις, σημαίνει τὸν σεσημασμένον, τὸν σημεῖα ἔχοντα εἴτε ἐκ φύσεως εἴτε ἐκ τέχνης. Καὶ ἐκ φύσεως μὲν σημεῖά τινα φέρουσιν ἔνιοι τῶν καρπῶν τῶν δένδρων, οἷαι αἱ ἀμυγδάλαι, ὥσπερ Ἕρμιππος παρ' Ἀθηναίῳ (I, 28, α) ἀμύγδαλα σιγαλόεντα καλεῖ, ἅτε τὰ κελύφη κατάστικτα καὶ σημείων πλέα ἔχοντα. Καὶ τὰ θαλάσσια φύκη, τὰ μακρὰ καὶ ταινιώδη καὶ κατὰ τὸν πυθμένα τῆς θαλάσσης ὁμοίως τοῖς σχοίνοις πεφυκότα, ἅπερ αὖθις παρὰ τῷ αὐτῷ Ἀθηναίῳ Νουμήνιος μνία σιγαλόεντα ἐπονομάζει (7, σελ. 295, ι). Ἐκ δὲ τῆς τέχνης ὡς ποικίλως κατεσκευασμένα, γραφῇ τινι ποικίλα (Ἡσυχ. ἐν λεξ. σιγαλ. Schol. Ambr. σελ. 475, ed. Buttm.) καλοῦνται ὑπὸ Ὁμήρου πρῶτον μὲν τὰ ὑπερώια (Ὀδ. Π, 449. Σ, 206. Τ, 600. Υ, 428), εἶτα δὲ δι' ὁμοίαν αἰτίαν ὁ χιτὼν καλεῖται σιγαλόεις (Ὀδ. Ο, 60. Τ, 232.), ὃς καὶ παρὰ τοῖς ὕστερον διὰ τὰ ἐνυφασμένα σημεῖα ἢ ζῶα καλεῖται κατάστικτος, ζωωτός, ζῳδιωτός, Πολυδ. ὀνομ. 7, 55· „ὁ δε κατάστικτος χιτών ἐστιν ὁ ἔχων ζῶα ἢ ἄνθη ἐνυφασμένα· καὶ ζωωτὸς δὲ χιτὼν ἐκαλεῖτο καὶ ζῳδιωτός“. Πρὸς δὲ τούτοις καὶ τὰ εἵματα ὁμοίως σιγαλόεντα καλοῦνται (Ἰλ. Χ, 154. Ὀδ. Ζ, 26. Ὁμηρ. Ὑμ. εἰς Ἀφροδ. 85, 164), καὶ τὰ ῥήγεα (Ὀδ. Ζ, 38. Λ, 189. Ν, 118) καὶ τὰ ἡνία (Ἰλ. Ε, 226, 328. Ρ, 479. Ὀδ. Ζ, 81) καὶ τὰ δέσματα (Ἰλ. Χ, 468).

ΔΙΑΓΡΑΜΜΑΤΑ.

Α. Οἰκία.

1. *Ἕρκος.*
2. *Ξεστοὶ λίθοι.*
3. *Πρόθυρον.*
4. *Αὔλειος θύρα.*
5. *Αἴθουσα αὐλῆς.*
6. *Αἴθουσα δόμου.*
7. *Χόρτος.*
8. *Βωμὸς τοῦ ἑρκείου Διός.*
9. *Θόλος.*
10. *Θάλαμος τοῦ Τηλεμάχου.*
11. *Πρόδομος.*
12. *Ἐνώπια παμφανόωντα.*
13. *Στόμα ἑκατέρας λαύρας.*

13′. *Ἑκατέρα λαύρα.*

14. *Κίονες.*
15. *Ἐσχάρα.*
16. *Ὀρσοθύρα.*
17. *Κοινὴ θύρα τῇ ἀνδρωνίτ. καὶ γυναικωνίτιδι.*
18. *Κλῖμαξ ἄγουσα εἰς τὸ ὑπερῷον.*
19. *Ῥῶγες μεγάροιο.*
20. *Θάλαμος Ὀδυσσέως.*
21. *Φάτναι.*

Β. Μέλαθρον (*τὸ ὅλον σύστημα τῶν μεσοδμῶν καὶ δοκῶν*).

1. *Τοῖχοι τῆς ἀνδρωνίτιδος.*
2. *Μεσόδμαι.*
3. *Δοκοί.*

Γ. Ὡς τὸ χελώνιον ἄνευ τῆς θύρας κατὰ τὸ ἔνδον φαίνεται.

1. *Ὀχεύς* (Riegel).
2. *Ἱμάς* (Riemen).

3,3. *Βάλανοι* (Pflöcke).

4. *Ἡ μεσαία ὀπὴ ἐπὶ τοῦ νώτου τοῦ χελωνίου.*
5. *Αἱ δύο πλάγιαι ὀπαὶ ἐπὶ τοῦ νώτου τοῦ χελωνίου.*
6. *Ἐγκάρσιαι ἐντομαὶ τῶν βαλάνων.*
7. *Θῆκαι τῶν βαλάνων.*

Δ. Ἡ χώρα τῆς θύρας, ᾗ τὸ χελώνιον πρὸς τὸ ἔνδον ἀντίκειται.

1. *Ὀχεύς.*

2′. *Ἱμάς.*

4′. *Ὀπὴ τῆς κλειδὸς ἀντιστοιχοῦσα τῇ ἐπὶ τοῦ νώτου τοῦ χελωνίου ὀπῇ.*

